ΒΙΒΛΙΟΘΗΚΗ ΜΑΡΑΣΛΗ

ΛΕΞΙΚΟΝ ΕΡΜΗΝΕΥΤΙΚΟΝ

ΤΩΝ

ΕΝΔΟΞΟΤΑΤΩΝ ΕΛΛΗΝΩΝ ΠΟΙΗΤΩΝ

ΚΑΙ ΣΥΓΓΡΑΦΕΩΝ

ΕΝ Ω ΠΕΡΙΕΧΕΤΑΙ ΕΡΜΗΝΕΙΑ ΜΕΝ ΠΑΣΗΣ ΔΥΣΚΟΛΟΥ ΛΕΞΕΩΣ ΚΑΙ ΦΡΑΣΕΩΣ, ΠΑΣΗΣ ΔΥΣΕΡΜΗΝΕΥΤΟΥ ΣΥΝΤΑΞΕΩΣ, ΚΑΙ ΔΗ ΠΑΝΤΩΝ ΤΩΝ ΔΥΣΚΟΛΩΤΑΤΩΝ ΧΩΡΙΩΝ, ΔΙΑΣΑΦΗΣΙΣ ΔΕ ΔΥΣΧΕΡΕΣΤΑΤΩΝ ΓΡΑΜΜΑΤΙΚΩΝ ΚΑΙ ΣΥΝΤΑΚΤΙΚΩΝ ΖΗΤΗΜΑΤΩΝ, ΕΠΙ ΔΕ ΤΟΥΤΟΙΣ ΠΑΝΤΕΣ ΟΙ ΤΥΠΟΙ ΤΩΝ ΑΝΩΜΑΛΩΝ ΡΗΜΑΤΩΝ ΚΑΙ ΟΝΟΜΑΤΩΝ

ΥΠΟ

ΓΡΗΓΟΡΙΟΥ Ν. ΒΕΡΝΑΡΔΑΚΗ

ΤΑΚΤΙΚΟΥ ΚΑΘΗΓΗΤΟΥ ΤΩΝ ΕΛΛ. ΓΡΑΜΜΑΤΩΝ ΕΝ Τῼ ΕΘΝΙΚῼ ΠΑΝΕΠΙΣΤΗΜΙῼ

« Ἡ ἐν τῷ ποιεῖν εὐχέρεια καὶ ταχύτης οὐκ ἐντίθησι βάρος ἔργῳ μόνιμον οὐδὲ κάλλους ἀκρίβειαν· ὁ δ' εἰς τὴν γένεσιν τῷ πόνῳ προδανεισθεὶς χρόνος ἐν τῇ σωτηρίᾳ τοῦ ἔργου τὴν ἰσχὺν ἀποδίδωσιν ». Πλουτ. Περικλ. κεφ. 13.

ΕΝ ΑΘΗΝΑΙΣ
ΤΥΠΟΙΣ Π. Δ. ΣΑΚΕΛΛΑΡΙΟΥ
1908

ΤΗι ΙΕΡΑι ΣΚΙΑι

ΤΟΥ

ΑΔΕΛΦΟΥ ΔΗΜΗΤΡΙΟΥ

ΤΟΙΣ ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ

Τὰ μὲν ὀνόματα καὶ τὰ ῥήματα καὶ τὰ ἄλλα τὰ οὕτω δὴ μέρη τοῦ λόγου λεγόμενα οἷον ὕλη καὶ σῶμα τῷ λόγῳ περίκειται, τὸν δ᾽ ἐνόντα νοῦν, ὥσπερ ψυχήν τινα, ὁ συμπλέκων καὶ συντάσσων καὶ εἰς ταὐτὸ συνάπτων τὰ τοῦ λόγου μέρη ἐμποιεῖ, ὥσπερ οὖν καὶ τὴν οἰκίαν οὐ λίθοι τε καὶ πλίνθοι καὶ ξύλα καὶ κέραμος ἀτάκτως ἐρριμμένα ποιοῦσιν, ἀλλ᾽ ὁ ταῦτα συνάπτων καὶ συναρμόζων καὶ συντιθεὶς εἰς τὴν τοῦ ὅλου ἀπεργασίαν. Καὶ τὰ μὲν τοῦ λόγου μέρη ἕκαστα κατά τε τοὺς τύπους καὶ τὴν χρείαν καὶ τὴν δύναμιν καὶ δὴ καὶ κατὰ τὴν ὀρθὴν γραφὴν ῥᾳδίως ἄν τις ἐκμανθάνοι τοῖς τε ὀνομαστικοῖς καὶ γραμματικοῖς βιβλίοις χρώμενος· ἀλλὰ πολλοῦ γε καὶ προσδεῖ τὸν Ἕλληνα λόγον συνιέναι τῷ ταῦτα μόνα ἐπισταμένῳ. Εἰ μὴ γὰρ καὶ τὴν σύνταξιν πάνυ ἀκριβοίης καὶ πολλὴν ἐμπειρίαν ἔχοις, μάτην ἄρα πεπόνηται, ἄλλως τε καὶ καθόλου μὲν ποικίλης, εἴπερ τις ἄλλη, οὔσης τῆς Ἑλλ. συντάξεως, ἐνιαχοῦ δὲ περιτέχνου καὶ δυσδιεξιτήτου καὶ Δηλίου, τὸ λεγόμενον, κολυμβητοῦ δεομένης. Ἡ δ᾽ ὀρθὴ ἑρμηνεία οὔποτ᾽ ἂν ἐφέποιτο, ὀρθῆς συντάξεως μὴ ὑφηγουμένης. Καὶ μὴν καὶ τῷ τοὺς χρόνους πόρρω ἀφεστάναι πολλὴν ἀσάφειαν καὶ σκότον ἐπικεχύσθαι εἰκὸς εἶναι οὐδεὶς ὅς οὐκ ἂν συνομολογήσειέ μοι. Καὶ ἡ μὲν ὀρθογραφία καὶ ἡ σημασία αὐτῶν τῶν ὀνομάτων, ἐπιπολῆς ὡς τὸ πολὺ οὖσα, εὐχερῶς ἀνευρίσκεται, ἡ δ᾽ ἑρμηνεία ἐν βάθει ἀποκειμένη σκοτεινῷ, δυσπρόσιτος οὖσα καὶ δυστέκμαρτος, χαλεπῶς ἁλίσκεται.

Διὰ ταῦτα οὐ μᾶλλον τῆς τῶν ὀνομάτων ὀρθογραφίας καὶ τῆς τῶν ὀρθῶν τύπων ἀναγραφῆς ἢ τῆς συντάξεως ἐν τῇδε τῇ βίβλῳ ἐμέλησέ μοι, περὶ ἑρμηνείας μάλιστα σκοπουμένῳ, ὡς ἂν ἄριστα γίγνοιτο. Περὶ δὲ ταύτης ὄντος τοῦ λόγου οὐδεὶς ἂν ἀντειπεῖν ἔχοι, ὅτι ἐπὶ πᾶσι τοῖς ἄλλοις καὶ τὰ παλαιὰ σχόλια καὶ τὰ ἄλλα πολυώνυμα ὑπομνήματα πολλοῦ ἄξια ὄντα πολλὴν καὶ τὴν ὠφελίαν, ὡς εἰκός, παρέχεται· τοιαῦτα δ᾽ ἐστὶ καὶ τὰ πρῶτα ἑρμηνευτικὰ βιβλία, ὧν τῇ ἐπικουρίᾳ τε καὶ ἀρωγῇ τὰ Ἑλληνικὰ γράμματα ἀκριβέστερον συνιέναι οἷοί τ᾽ ἐγενόμεθα. Εἰς δὲ τὸν λόγον τοῦτον εἴ τις τὰ παλαιὰ ταῦτα σχόλια ταῖς νῦν οὕτω δὴ λεγομέναις ἐκδόσεσι τῶν Ἑλλήνων ποιητῶν τε καὶ συγγραφέων παραβάλοι καὶ παρεξετάσειε, πάντως τὰ παλαιὰ σχόλια, λέγω δὲ τὰ ἐν τούτοις κράτιστα, κρατήσει καὶ προτερήσει οὐ μόνον διὰ τὴν πολλὴν καὶ ἄλλην χρείαν, ἀλλὰ καὶ ὅτι ταῦτα μὲν ἔστι τε καὶ ἔσται εἰς πολὺν χρόνον, ἐκεῖναι δὲ βραχύ τι ἀνθήσασαι τάχιστα μαραίνονται. Οὐ μὴν ἀλλὰ καὶ τὰ πολλὰ ἑρμηνεύματα τὰ παρὰ Φωτίῳ, Ἡσυχίῳ, Σουΐδᾳ, καὶ τοῖς ἄλλοις, τοῖς οὕτω δὴ λεξικογράφοις καλουμένοις, ὅσον ὠφέλησέ τε καὶ προήγαγε τὰ τῆς ἑρμηνείας, πάντες δήπου ἴσμεν. Αἱ δὲ πολλαχοῦ τῆς λεξικῆς τῆσδε βίβλου σπουδῇ τε καὶ ἐπιμελείᾳ πλεῖσται ὅσαι χρήσεις καὶ φράσεις κατειλεγμέναι οὐ σμικρόν τι συμβαλοῦνται, εὖ οἶδ᾽ ὅτι, τῷ χρησίμως ἀνελίσσειν τε καὶ συνιέναι τὰ ἀρχαῖα συγγράμματα βουλομένῳ.

Ὅτι δὲ τῷ πονήματι τούτῳ ἐπιχειρήσας πᾶσαν μηχανὴν ἐμηχανησάμην, οὐδὲν οὔτε προθυμίας οὔτε σπουδῆς ἐλλιπών, ὥστε, ὅ τι τῇ ἑρμηνείᾳ προσήκοι καὶ συντείνοι, μηδὲν ἀνερεύνητον μηδ᾽ ἀνεξέταστον ἐᾶσαι, αὐτόθεν δῆλον. Ὥσπερ γὰρ ἐν ταμιείῳ τῇ βίβλῳ ταύτῃ πάντα καὶ τὰ παλαιά, ὅσα γε λόγου ἄξια, ὑπομνήματα, καὶ τὰ νεώτερα περισυναγαγόντι καὶ σαφηνίσαντι καταθεῖναι ἔδοξέ μοι, οὕτω δὲ τἀρχαῖα συγγράμματα τοῖς μελετῶσι καὶ σπουδάζουσιν εὐχερέστερα καταμανθάνειν καὶ συνιέναι ἀπεργάσασθαι, ἄλλως τε καὶ φανερὸν ὂν ὅτι, τῷ τἀρχαῖα ὀρθῶς τε καὶ προσηκόντως σπουδαζόμενα ἑρμηνεύεσθαι, πᾶσαι αἱ ἐπιστῆμαι καὶ καθόλου αἱ σπουδαί, αἱ ἐξ ἐκείνων ὁρμώμεναι, πολύ τι ἐπιδώσουσι καὶ προκόψουσιν. Ἀλλὰ μὴν μηδείς με ὑπονοείτω τέλειον τῆς ἀρχαίας Ἑλλ. γλώσσης λεξικὸν συνθεῖναι βουληθῆναι. Ἡ γὰρ τοιαύτης λεξικῆς βίβλου σύνταξις μείζων ἢ καθ᾽ ἕνα τινὰ πόνος ἐστίν. Οὐχ ἑνὸς γάρ τοι οὐδὲ δυοῖν, ἀλλὰ πολλῶν προσηκόντως τὰ φιλο-

λογικὰ κατηρτισμένων καὶ πεπαιδευμένων τὸ ἔργον, πολὺν δὲ χρόνον ἀνενδότως καὶ ἀδιαλείπτως τῷ πόνῳ τούτῳ προσκειμένων. Ἐγὼ δὲ τῷ μεγαλοφρονεστάτῳ χορηγῷ τῷ μέγιστ᾿ ἄττα καί πως θειότερα βουλομένῳ τε καὶ φρονοῦντι, ἅτε δὴ καὶ θειοτέρας μετασχόντι τῆς γνώμης, πειθόμενος, εὐθὺς ἐξ ἀρχῆς πολλῶν ἐδεήθην, ὅπως κοινῇ συνεργαζόμενοι τοιοῦτόν τι λεξικόν, τῷ μεγέθει τῆς τἀνδρὸς προαιρέσεως συμφωνότερον, συγγράψαιμεν. Ἐπεὶ μέντοι οὐδεὶς μὲν τοῦ πόνου τούτου κοινωνεῖν μοι ἐβούλετο, ἐγὼ δὲ μόνος τοιοῦτον καὶ τηλικοῦτον ἔργον εἰς πέρας ἄγειν οὐχ οἷός τ᾿ ἦν, ἔννοιά μοι ἐγίγνετο, ἥν τιν᾿ ἂν λεξικὴν βίβλον ἀπεργασάμενος αὐτὸς καὶ τοῖς περὶ τὰ Ἑλληνικὰ γράμματα σπουδάζουσιν ἐπικουρήσαιμι, ἅμα δὲ καὶ τὰς ἐμάς, ὅση γε δύναμις, τῷ μεγάλῳ τῆς Ἑλληνικῆς γλώσσης θησαυρῷ συμβολὰς συντελέσαιμι. Οὕτω δὲ τῇ λεξικοῦ ἑρμηνευτικοῦ συγγραφῇ ἐπεχείρησα πασῶν τῶν δυσερμηνεύτων ῥήσεων καὶ φράσεων καὶ λέξεων, ἃς ὁ καταμανθάνειν βουλόμενος εἰς τὰ λεξικὰ καὶ τὰ ἄλλα ἑρμηνευτικὰ βιβλία καταφεύγει, ἑρμηνείαν παρεχομένου. Σκοπούμενος οὖν εὕρισκον, ὅτι σύμπαντα τὸν τῆς Ἑλλ. φωνῆς λεξικὸν θησαυρὸν περισυναγαγὼν ἑρμηνεῦσαι καὶ σαφηνίσαι οὐκ ἂν δυναίμην, μικροῦ δέ τινος μέρους πάντως κρατῆσαι ἂν ἐξείη μοι. Εἰ δὲ τὸ μικρὸν τοῦτο μέρος, ὃ ἐγὼ συμβάλλεσθαι ἂν δυναίμην, οὐδὲν ἄλλο ἢ τὰ δυσερμήνευτα χωρία τῶν τε ποιητῶν καὶ τῶν καταλογάδην συγγεγραφότων εἴη, καὶ πάνθ᾿, ὡς εἰπεῖν, τὰ ἑρμηνείας χρῄζοντα, οὐ μόνον αὐταὶ καθ᾿ ἑαυτὰς αἱ ἐμαὶ μικραὶ συμβολαὶ ἄξιαι λόγου, ἀλλὰ καὶ τοῖς ὑπάρχουσι λεξικοῖς ἐν συμπληρώματος μέρει ἂν γένοιντο, ἐπὶ δὲ τούτοις καὶ πολλὴν τὴν ὄνησιν τῇ σπουδαζούσῃ νεότητι φέροιεν. — Φέρε οὖν ἐξετάσωμεν, ὡς οἷόν τε διὰ βραχυτάτων τὸ πρᾶγμα ὡς ἔχει. Ὁ γὰρ ἀρχαῖον ποιητὴν ἢ συγγραφέα ἀναγιγνώσκων καὶ μελετῶν, ἄλλα μὲν δήπου καταμανθάνει καὶ ἀκριβοῖ, ἄλλα δ᾿ οὔ. Ταῦτα δὲ τὰ ἄλλα, ἃ οὐκ ἀκριβῶς εἰδὼς οὐδὲ κατανοῶν ἐπὶ τὰ λεξικὰ καὶ τὰς ἐκδόσεις καταφεύγει, ἑρμηνείαν ποθῶν καὶ ἀναζητῶν, ἐν τῷ λεξικῷ τῷδε κατεχώρισα. Τίνα δ᾿ ἐστὶ ταῦτα; Λέξεις, καὶ φράσεις καὶ χρήσεις καὶ ῥήσεις καὶ χωρία, ἅπερ ἤτοι ἐν τοῖς ὑπάρχουσι λεξικοῖς καθόλου οὐχ εὑρίσκεται, ἢ εὑρίσκεται μέν, ἀλλ᾿ ἢ οὐχ ἡρμήνευται ἢ πλημμελῶς τε καὶ ἀτελῶς σαφηνίζεται ἢ καθόλου δυσχέρειάν τινα ἐμφανίζει. Οἱ δὲ πλεῖστοι τῶν τοῖς λεξικοῖς χρωμένων ταῦτ᾿ ἀνελίσσοντες φαίνονται, ἵν᾿ ἤτοι δυσνοήτου χωρίου ἢ σπανίας λέξεως καὶ φράσεως καὶ χρήσεως τὴν ἐξήγησιν ἀνεύρωσιν.

Ἀλλ᾿ ὅπερ μάλιστα εὐθὺς ἐξ ἀρχῆς οὐ συνιεὶς οὐδὲ καταμανθάνων ὁ περὶ τὰ ἀρχαῖα γράμματα διατρίβων φαίνεται, τοῦτ᾿ ἐστὶν ἡ σύνταξις. Καὶ γὰρ πολλὰ χωρία οὕτω συνέστραπται καὶ πεπύκνωται τοῖς τε νοήμασι καὶ τῇ λέξει, ὥστε μηδ᾿ ἂν τὸν τῆς ἀρχαίας φωνῆς ἔμπειρον καὶ εἰδήμονα εὐθὺς ἐξ ἀρχῆς τὰ σκοτεινὰ καὶ ἄπορα διαλύειν καὶ διασαφεῖν. Ταῦτα δὴ μάλιστα τὰ χωρία ἑρμηνεῦσαί τε καὶ ἐξηγήσασθαι ἐν τῷδε τῷ λεξικῷ προυθέμην. Ἔστι δὲ καὶ ἄλλως σαφηνίζειν τὸ πρᾶγμα. Εἰ γάρ τις, καὶ φιλόλογος ὤν, βούλοιτο τὰ Πινδάρου, ἵν᾿ ἑνὶ τούτῳ παραδείγματι χρήσωμαι, ἀναγνῶναι αὐτὰ αὐτός, οὐκ ἂν δύναιτο μὴ συνεπίκουρον ἔχων ἔκδοσίν τινα ἑρμηνευτικήν. Εἰ δέ τις ὅμως τῷδε τῷ λεξικῷ συνεκδήμῳ χρῷτο, ῥᾳδίως ἂν καὶ τὰ Πινδάρου καὶ τὰ τῶν ἄλλων διεξέλθοι. Τοιόνδε τι οὖν ἐποίησα. Πρῶτον μὲν τοὺς ἀρχαίους ποιητάς τε καὶ συγγραφέας αὐτὸς ἀνέγνων, καὶ μάλιστα τοὺς ἐγκρίτους, ἐξ ὧν πάντα τὰ χωρία, τὰ κατά τινα λόγον σημειώδη, ἐξεγραψάμην. Εἶτα λαβὼν ἀνὰ χεῖρας καὶ τὰς ἀρίστας ἐκδόσεις ἐσημειούμην πάνθ᾿ ὅσα καὶ οἱ ἐκδόται διασαφήσεώς τινος καὶ σημειώσεως κρίνουσιν ἄξια· τούτοις δὲ προσθεῖναι ἔδοξέ μοι καὶ ὅσα δυσνόητα χωρία ἀναγεγραμμένα εὗρον ἐν τοῖς εἰδικοῖς λεγομένοις λεξικοῖς, οἷον τὸ Αἰσχύλου, τὸ Σοφοκλέους, τὸ Πινδάρου, τὸ τῶν τραγικῶν καὶ τὸ τῶν κωμικῶν ποιητῶν, τὸ Θουκυδίδου καὶ τὰ τοιαῦτα. Οὕτω δὲ τελειοτέραν καὶ ἀκριβεστέραν ἐκ τῶν ἐνόντων τὴν τῶν δυσερμηνεύτων χωρίων συναγωγὴν ἀπεργασάμενος, ὅμως παρέλιπον πάνθ᾿ ὅσα καὶ ἐμοὶ ἀποπειρωμένῳ ἐφθαρμένα καὶ πλημμελῶς ἔχοντα ἐδόκει εἶναι, εἰ μή τι ἐπανορθοῦσθαι εἴη. Ἐπεὶ δὲ σκοπὸς μάλιστα τοῦ λεξικοῦ τοῦδ᾿ ἐστὶν οὐ μᾶλλον ἡ τῶν λέξεων ἢ ἡ τῶν χωρίων ἑρμηνεία, διὰ τοῦτο ἡ διηκριβωμένη καὶ λεπτὴ καί πως περιττοτέρα τῶν λέξεων ἐξήγησις πολλαχοῦ παραλείπεται. Ἴσθι δέ με ἐν πᾶσι τούτοις τῆς παραδόσεως ἀπρὶξ ἐχόμενον καὶ μόνον, εἴ που τὰ παραδεδομένα οὐχ ὑγιῶς ἔχοι, ἐπανόρθωμά τι ἐπεισάγοντα, τῶν δὲ λεγομένων διαφόρων γραφῶν καὶ ἐπανορθώσεων μόνον, εἴ πού τις ἀνάγκη εἴη, μνημονεύοντα. *Τοῦτο δὲ τὸ ἔπος ἐχέτω μοι ἐς πάντα τὸν λόγον.*

Εἰ δέ τις καὶ τοὺς ποιητὰς καὶ συγγραφέας ἀκριβέστερον εἰδέναι βούλοιτο, ὅσον τῇ λεξικῇ τῇδε βίβλῳ χρήσιμοι τε ἐγένοντο καὶ συνεβάλοντο, πλεῖστα μὲν χωρία ἡρμήνευταί μοι ἐκ τῶν Σοφοκλέους πρώτου καὶ Αἰσχύλου δευτέρου, εὖ δὲ μάλα καὶ ἐκ τῶν Εὐριπίδου, Ἀριστοφάνους, Ἡρώνδα, Πινδάρου, Βακχυλίδου, Ὁμήρου, Ἡσιόδου, Καλλιμάχου, Θεοκρίτου, τῶν λυρικῶν ποιητῶν καὶ τῶν ἀποσπασμάτων τῶν τραγικῶν καὶ κωμικῶν, ἔτι δ᾽ Ἀράτου, Νικάνδρου, Ὀππιανοῦ, τῶν τῆς Ἀνθολογίας ποιητῶν, καὶ εἴ τις ἄλλος. Ἐκ δὲ τῶν καταλογάδην συγγεγραφότων μάλιστα μὲν ἐξηγούμην τὰ Θουκυδίδου, εἶτα δὲ τὰ Πλάτωνος, Δημοσθένους (καὶ τῶν ἄλλων ῥητόρων), ἐπὶ δὲ τούτοις τὰ Ξενοφῶντος, Ἡροδότου καὶ Ἀριστοτέλους καὶ Πλουτάρχου καὶ Λουκιανοῦ. Ἡ δὲ τάξις τοῦ ποσοῦ τῶν ἐξ αὐτῶν παρειλημμένων χωρίων δηλωτική· ὅσῳ γὰρ πρότεροί εἰσι τῇ τάξει, τοσῷδε καὶ πλείω χωρία παρέσχηνταί μοι. Εἰρήσθω δέ μοι καὶ τόδε τῆς ἀκριβείας ἕνεκα, ὅτι κατὰ τὸν αὐτὸν λόγον πλείω χωρία ἐκ τῶν ἐν ταῖς σχολαῖς διδασκομένων παρείληπται ἢ ἐκ τῶν ἄλλων συγγραμμάτων τοῦ αὐτοῦ συγγραφέως. Ὅτι δὲ πολλὰ τῶν συγγραμμάτων τούτων οἱ βουλόμενοι τῶν ἡμετέρων ἀναγιγνώσκειν οὐκ εὐχερῶς ἠδύναντο, οὔτε ἐκδόσεως οὔτε ἄλλης βίβλου βοηθητικῆς συνεπικουρούσης, περιττὸν ἂν εἴη καὶ δηλῶσαι. Καὶ ταῦτα μὲν δὴ ταύτῃ.

Εἰ δέ τινα τῶν ἐν τῷδε τῷ λεξικῷ κατακεχωρισμένων χωρίων εὐχερῆ καὶ εὔληπτα δόξει τισὶν εἶναι, ταῦθ᾽ εὖ οἶδ᾽ ὅτι ἄλλοις δυσχερῆ καὶ δύσληπτα ἔσται, μᾶλλον δὲ πάνυ ὀλίγα περιττὰ φανήσεται, πλείονα δ᾽ ἐλλείποντα ποθήσουσιν οἱ τῇ βίβλῳ ἐντυγχάνοντες. Ἐν τῷδε οὖν τῷ λεξικῷ, ἑρμηνευτικῷ μάλιστα ὄντι, εὕροι ἂν ὁ ἐπιεικὴς κριτὴς ἑρμηνευόμενα οὐ μόνον τὰ ἐν πᾶσι τοῖς Ἑλληνικοῖς λεξικοῖς δυσχερῆ χωρία, ὧν ἔνια, καίπερ παρατιθέμενα, ἀνερμήνευτα φέρεται, ἀλλὰ καὶ πολλὰ ἄλλα, ἃ οὐδ᾽ ἐν αὐτῷ τῷ πολυθρυλήτῳ Θησαυρῷ ἀναγεγραμμένα τυγχάνει. Καθόλου δ᾽ εἰπεῖν, ὅσα δυσχερῆ χωρία ἀνερμήνευτα ἐν τοῖς λεξικοῖς κεῖται, πάντα ταῦτα ἐπιμελῶς ἡρμήνευσα, πλὴν τῶν εὐχερεστέρων· ταῦτα γὰρ πάντα οὐδενὸς φεισάμενος παρέλιπον. Πᾶσι δὲ τούτοις προσέθηκα κἀγώ, ὅσα αὐτὸς ἑκάστοτε εἶχον συναγαγών, πάσῃ σπουδῇ θηρώμενος καί, ὅτῳ ἀπόρῳ καὶ δυσερμηνεύτῳ χωρίῳ ἐντυγχάνοιμι, τοῦθ᾽ ὥσπερ ἕρμαιόν τι ὑπολαμβάνων. Ἐπὶ δὲ τούτοις καὶ πολλαῖς χωρίων συναγωγαῖς ὑπὸ τῶν μαθητῶν ἐμὴν χάριν παρεσκευασμέναις ἐχρησάμην. Ἃ πάντα κατὰ δύναμιν ἡρμήνευταί μοι. Πολλοῖς δ᾽ οὖν χωρίοις παρ᾽ οὐδενὶ ἡρμηνευμένοις ἐντυχών, αὐτὸς ἐπεθέμην ἑρμηνεῦσαι. Οὕτω δ᾽ οὐκ ὀλίγα χωρία, ὧν τὴν ἑρμηνείαν μάτην ἂν παρ᾽ ἄλλοις ἀναζητοίη τις, ἐν τῷ λεξικῷ τῷδε εὑρίσκοι ἂν ἡρμηνευμένα. Τῶν δὲ παραλειφθέντων, —πολλὰ δ᾽ εἰκὸς παραλειφθῆναι— αἰτιάσαιτο ἄν τις μάλιστα μὲν τὴν ἐμὴν ἀδυναμίαν, ὑφ᾽ ἧς πάντα τὰ ἀπόρως ἔχοντα καὶ δυσερμήνευτα ἐν βραχεῖ πάντως χρόνῳ ἀνευρεῖν τε καὶ συναγαγεῖν καὶ διερμηνεῦσαι οὐκ εἶχον, ἥκιστα δὲ τὴν ἐμὴν προθυμίαν καὶ προαίρεσιν. Τῷ δ᾽ οὖν μέλλοντι μιμητῇ ἔσεσθαι, εἴ τις καὶ εἴη, τὰ προσήκοντα πάντως ἂν ὑπόκειτο. Παρέλιπον μέντοι τὰ ἐκ τῶν ἐπιγραφῶν χωρία πάντα, οὐ τοῦ παρόντος ἡγησάμενος εἶναι τὴν τούτων ἑρμηνείαν οὐδ᾽ οἷα ἐκ παρέργου μελετᾶσθαι.

Ἐπειδὴ δὲ τὰ δυσερμήνευτα καὶ δυσνόητα ἐν πᾶσι καὶ εἰς πάντα λόγον ἐθηρώμην, τοῦτ᾽ αὐτὸ καὶ ἐν τοῖς γραμματικοῖς ἐπετήδευον, ὧν τὰ μὲν δυσχερέστερα καὶ ὑπό τι ἀσαφῆ πανταχόθεν περισυνήγαγον, μάλιστα δ᾽ ἐκ τῶν τοῦ Κοβήτου καὶ Μαδβιγίου καὶ Ἑρουερδῆνος, καὶ ἄλλων κριτικῶν τε καὶ ἑρμηνευτικῶν συγγραφῶν, οὐχ ἧττον δὲ καὶ ἐκ τῶν τοῦ Κυνέρου γραμματικῶν τε καὶ συντακτικῶν βίβλων, τῶν ὑπὸ Βλασσίου καὶ Γερθίου ἐπεξειργασμένων, τὰ δ᾽ εὐχερέστερα καὶ εὐληπτότερα παντάπασιν ἀπέβαλον· ἀτελεύτητος γὰρ καὶ ἀνήνυτος ἂν ἦν ὁ πόνος, καὶ ἄλλως καὶ τοῦ μὲν βίου βραχέος, τῆς δὲ τέχνης μακρᾶς οὔσης. Ἐν παρέργῳ δ᾽ εἰρήσθω μοι, ὅτι καὶ τῶν συνωνύμων καὶ ἄλλων ἰδίων χρήσεων οὐκ ἠμέλησα, πᾶν ὅ τι βέβαιον περὶ τούτων ἐγέγραπτο παραλαβών. Σημειοῦ δέ μοι καὶ τόδε, ὅτι ἐν τῷ τὴν βίβλον τήνδε συγγράφειν ἀείποτε εἰς τὰ πρὸς ἡμᾶς τοὺς Ἕλληνας ἄπορα καὶ δυσχερῆ ἀπέβλεπον μᾶλλον ἢ εἰς τὰ πρὸς τοὺς ἄλλους, ἅτε δὴ τῆς βίβλου μάλιστα τοῖς Ἕλλησιν ἀφωρισμένης. Πάντως δὲ δήπου, ὥσπερ πολλά τινα χωρία οὐχ οὕτω δυσνόητα, ὡς ἄλλα, τυγχάνει ὄντα οὐδὲ πράγματα τῷ ἑρμηνεύοντι παρέχει, οὕτως αὖ πόλλ᾽ ἄλλα δύσληπτά ἐστι καὶ χαλεπὰ νοῆσαι, πολλοῦ μὲν πόνου εἰς διασάφησιν δεόμενα, πολλοῦ δὲ χρόνου, ἔστι δ᾽ ὅτε

καὶ δαπάνης, εἴ τι χρήσιμον περὶ τῶν τοιούτων βιβλίον ὑπάρχει ἐκδεδομένον, πορίσασθαι ἄξιον. Ἀντισήκωμά γε μὴν καὶ ἀντιστάθμημά τι πολλαχοῦ ἐπεγένετο. Ὥσπερ γὰρ πολλά τινα ὀνόματα, περὶ ὧν οὐκ ἦν ἱκανὰ σημειώσασθαι, ὅλως παρέλιπον, οὕτως αὖ ἄλλα, ἐν οἷς πόλλ᾽ ἄττα ἐξηγήσασθαι εἶχον, οὐχ ὅπως ἀπεσιώπησα, ἀλλὰ καὶ ἄλλα, ἧττον δυσνόητα καὶ δυσερμήνευτα, ἡρμήνευσα καὶ προσέθηκα, ἵνα τὸ κεφάλαιον ἕκαστον ἐν τῷ μέρει ἀπαρτίζοιτο.

Τὰς δ᾽ ἑρμηνείας ἑκάστας πολλαχόθεν μὲν ἐποριζόμην τε καὶ ἠρυόμην, οὐχ ἥκιστα δὲ ἐκ τῶν ἀρίστων ἐκδόσεων, αἷς ἀείποτε ἐχρώμην. Τοιαῦται δ᾽ ἐκδόσεις καὶ παρ᾽ ἄλλοις μέν, ὡς εἰκός, ὑπάρχουσι, μάλιστα δὲ παρὰ τοῖς ἑλληνομαθεστάτοις Γερμανοῖς, πρὸς οὓς πάντας χάριν πλείστην ὁμολογῶ. Καὶ ὅπου μὲν κατὰ λέξιν, τὸ λεγόμενον, παραλαμβάνοιμι τὴν ἑρμηνείαν, ἐνταῦθα καὶ τοὔνομα τοῦ ἑρμηνευτοῦ ἐμνημόνευον, εἴ τι λόγου ἄξιον εἴη, ὅπου δ᾽ ὠφελοίμην μέν τι ἐκ τῶν παρ᾽ ἄλλοις ἑρμηνειῶν, ἀλλ᾽ οὐκ αὐταῖς λέξεσι χρῴμην, ἢ ἄλλως διασκευάζοιμι, ἐνταῦθα καὶ τῶν ἑρμηνευτῶν πάντων μνείαν ποιεῖσθαι οὐχ οἷόν τ᾽ ἦν ἐμοί, ἄλλας μὲν ἑρμηνείας μεταβαλόντι, ἄλλας δὲ κατὰ τὸ δοκοῦν διασκευάσαντι, ἐν τῷ αὐτῷ δὲ χωρίῳ μέρος μὲν τούτῳ, μέρος δ᾽ ἐκείνῳ τῷ ἑρμηνευτῇ κατακολουθήσαντι, ἐνιαχοῦ δὲ λεξειδίων τινῶν μόνον τὴν ἑρμηνείαν παραλλάξαντι. Ἀλλ᾽ ὡς ἀληθῶς ὅμως καὶ αὗται εἰς ἐκείνους, παρ᾽ ὧν ὥσπερ ἐνδόσιμον καὶ ῥοπήν τινα εἰλήφειν, τὴν ἀρχὴν ἀναφέρουσι. Καθόλου δ᾽ εἰπεῖν ἐμοὶ μὲν ἀποδοτέον τὴν τοῦ ὅλου διακόσμησιν, πρὸς δὲ ταύτῃ πάσας τάς τε ἑρμηνείας καὶ ἐπανορθώσεις, ἃς αὐτὸς ἐμαυτῷ διαρρήδην ἀνατίθημι, πάντα δὲ τἆλλα ἄλλοις ὀφείλεται καὶ προσήκει καὶ ἀναφέρεσθαι χρὴ κατὰ τὸ μᾶλλον καὶ ἧττον, ὡς δικαιότατα.

Πανταχοῦ μέντοι τὴν κατὰ λέξιν ἐξήγησιν προκρίνων ἐπεδοκίμαζον καὶ ἐπετήδευον, ἄλλως τε καὶ τῆς τοιαύτης ἑρμηνείας τὴν ὁδὸν τοῖς ἐντυγχάνουσιν ὑποδεικνύσης, ᾗ καὶ τὸ ὅλον καὶ ἕκαστα ἑρμηνεύεσθαι δεῖ, οὐ μόνον ἐν τῷ ἀεὶ προκειμένῳ χωρίῳ, ἀλλὰ καὶ ἐν τοῖς παρομοίοις. Αὕτη δ᾽ οὖν καὶ διδακτικωτάτη ἂν εἴη. Πολλαχοῦ μέντοι ἡ κατὰ λέξιν αὕτη καὶ ἀκριβὴς ἑρμηνεία λυμαίνεται καὶ ἄντικρυς μάχεται τῇ τοῦ λόγου κομψότητι καὶ καλλιεπείᾳ· τῆς γὰρ ἑρμηνείας τὴν σαφήνειαν, ὡς εἰκός, σκοπούσης, πάσῃ φωνῇ ἀπὸ τῆς ἀρχαίας ἀρξάμενος μέχρι τῆς καθ᾽ ἡμᾶς συνηθείας ἐχρησάμην· πᾶσαι γὰρ δίκαιαι ὑπάρχειν, τῶν τοῦ ἀρχαίου λόγου ποικίλων χρειῶν ὁτὲ μὲν ταύτῃ, ὁτὲ δ᾽ ἐκείνῃ συμμέτρως συμμεθαρμοζόμεναι. Ἄλλῃ γὰρ φωνῇ τὰ τοῦ Πλάτωνος ἀποδίδοσθαι προσήκει, ἄλλῃ δὲ τὰ Ἀριστοφάνους, ἄλλῃ δ᾽ εὖ μάλα τὰ τῶν ἄλλων. Ἡ δ᾽ οὖν τῆς μεταφράσεως λέξις κατ᾽ ἀνάγκην ποικίλη ἐστίν, ἅτε δὴ τῷ τε εἴδει καὶ τῇ ὕλῃ τῆς μεταφραστέας φράσεως παρακολουθοῦσα. Χρῆν δέ με ἐξηγούμενον, ἄλλως τε καὶ μίαν τὴν ἐμοὶ ἀρίστην δοκοῦσαν ἑρμηνείαν παρατιθέμενον, χρῆσθαι λέξει, ἣ ἀκριβῶς διερμηνεύουσα μὴ μόνον τὴν διάνοιαν ἀλλὰ καὶ τὸ ἦθος τοῦ ἑρμηνευομένου χωρίου καθόλου τε καὶ ἐπὶ μέρους ἀποδιδοίη, πρὸς πάντας καὶ τοὺς ἧττον λογίους. Δι᾽ ὃ τὰ μὲν ἑτέρας ἑρμηνείας προσχρῄζοντα ἑρμηνεύματα ἐξέκλινα, προέκρινα δὲ τὰ ἀκριβῶς ἑρμηνεύοντα, καὶ εἰ χυδαιότερά πως εἴη· ἑρμηνευτικὸς γὰρ μάλιστα τῆς βίβλου ὁ σκοπός. Εἰ δέ που βραχύτερα τοῦ δέοντος τὰ ἐξηγήματα ταῦτα τυγχάνει ὄντα, δῆλον ὅτι πλείω λέγειν ἤτοι οὐκ ἠβουλήθην ἢ οὐκ ἠδυνήθην. Ὅτε δὲ ἡ ἐξήγησις, οἷς καθ᾽ ἡμέραν ἐν τῇ συνηθείᾳ χρώμεθα ὀνόμασι καὶ ῥήμασι, ταῦτα παρεχομένη τὴν ἀρχαίαν ῥῆσιν ὡς οἷόν τε ἀκριβέστατα κατά τε τὴν λέξιν καὶ τὸ ἦθος ἀποδίδωσι, πάντες δήπου χαίρομεν, ὅτι ἀρχαία φράσις ἡ αὐτὴ καὶ ἀπαράλλακτος περιγεγένηται, ὥσπερ παλαιά τις γνώριμος εἰς ὄψιν ἡμῖν ἐρχομένη. Ὅσον δὲ ταῦτα καὶ τὰ τοιαῦτα εἰς τὴν τῆς γλώσσης ἀκριβεστέραν νόησιν καὶ αἴσθησιν συμβάλλεται, ὅταν μὴ μόνον νοῶμεν ἀλλὰ καὶ αἰσθανώμεθα, περιττὸν ἂν εἴη καὶ λέγειν. Ἐνταῦθα δέ μοι τοῦ λόγου γενομένῳ δοκεῖ, ὅσα ἄλλοτε περὶ τούτου ἔγραψα, παραθέσθαι[1]).

[1]) «Περὶ τούτων δ᾽ ὄντος τοῦ λόγου παρατηρητέον, ὅτι τὰ *ἄριστα γλωσσικὰ σχόλια*, ὧν στεροῦνται πάντα τὰ ἄλλα ἔθνη, εἶνε αἱ ἀντίστοιχοι δημώδεις φράσεις καὶ λέξεις. Ἑκάστη φράσις εἶνε μνημεῖον τῆς γλώσσης Ἑκάστην ἠκούσαμεν καὶ ἀκούομεν καὶ ἡμεῖς οἱ σύγχρονοι Ἕλληνες ἐξ ἁπαλῶν ὀνύχων καὶ οἱ προγενέστεροι ἡμῶν ἀπὸ αἰώνων μέχρι τῆς σήμερον· δι᾽ αὐτῶν ἀνατρεφόμεθα καὶ παιδευόμεθα. Ἑκάστη λοιπὸν φράσις εἶνε ζωηρῶς ἐντετυπωμένη ἐν ἡμῖν καὶ ζωηρῶς διεγείρει καὶ τὸ γλωσσικὸν αἴσθημα ἡμῶν, κυρίως διότι εἶνε τὸ ὄργανον τῆς διανοήσεως ἡμῶν, καὶ τὸ ἐθνικὸν αἴσθημα, διότι ὑποδεικνύει τὴν ὑπάρχουσαν ἑνότητα. Πᾶσα δὲ ἀρχαία φράσις ἀναζῇ καὶ εἶνε ζωντανὴ δι᾽ ἡμᾶς, ὡς ἡ γλῶσσα, ἣν ὁμιλοῦμεν, ὅταν καὶ ὁσάκις ἀποδίδεται δι᾽ ἀντιστοίχου δημώδους. Ἡ δημώδης φράσις εἶνε ἡ τελευταία φάσις τῆς ἀρχαίας, ὀλίγον παρηλλαγμένη ἐξωτερικῶς, ἀλλὰ διασῴζουσα πλήρη καὶ ἀκέραιον τὸν ἐσωτερικὸν πυρῆνα, καὶ οἷον μαγνητικὴν δύναμιν ἀσκοῦσα ἐπὶ πᾶσαν Ἑλληνικὴν ψυχήν. Καὶ δικαίως, διότι, ὡς εἴπομεν, ἑκάστη

Ταύτης δὲ τῆς σαφηνείας ἕνεκα καὶ ἧττον ὀρθὰ ἔστιν ὅπου ὀνόματα ἐνέκρινα, συνήθη μέντοι καὶ καθιερωμένα καὶ καθωμιλημένα. Ἓν γάρ τι ὄνομα καὶ αὐτὸ τὸ πλημμελέστατον ἡ ἀδιάλειπτος καί πως χρονιωτέρα χρῆσις καθωμιλημένον καὶ κοινὸν ἐποίησεν.

Ὡς δὲ τὸ πολὺ μία μόνη ἐν τῷ λεξικῷ κατακεχώρισται ἑρμηνεία, σπανιώτερον δὲ δύο ἢ τρεῖς, ἄλλως τε καὶ τῆς ὀρθῆς μιᾶς πάντως οὔσης. Χρὴ δὲ τὸν τοιοῦτον ἐκπονοῦντα λεξικόν, καὶ μάλα ἐπιπονήσαντα καὶ ἐπιταλαιπωρήσαντα, τὴν μίαν ταύτην ὀρθὴν ἑρμηνείαν ἀνευρίσκειν, ἣ πάντως πολὺ πλείονος ἀξία τυγχάνει οὖσα ἢ αἱ πολλαὶ ἐκεῖναι ἑρμηνεῖαι, αἱ ὑπό τινων ἔν τισι παχυτάταις βίβλοις συλλήβδην παρατιθέμεναι, οὐχ ἅπαξ ἀλλὰ καὶ δὶς καὶ τρὶς ἐνίοτε, ὡς ἔτυχεν ἑκάστη ὑπὸ τοῦ πρώτου γράψαντος γεγραμμένη, ἀμετάφραστοι δῆλον ὅτι καὶ ἀδιασκεύαστοι, ὡς τούτου δὴ τοῦ ἐπιτηδεύματος ἀκριβεστέρου ὄντος, ὡς δ᾽ ἀληθῶς ἀταλαιπώρου καὶ ἀνυπευθύνου. Οὐδὲν γὰρ τῆς ἀντιγραφῆς ταύτης εὐχερέστερον, ὅπου καὶ μηχανή τις (οἷαι νῦν ὑπάρχουσι), μή τί γ᾽ ἄνθρωπος, ταὐτὸ ἀπεργάζεσθαι δύναιτ᾽ ἄν. Καὶ αὐτὴν γὰρ τὴν ἐξελλήνισιν οὐκ ἄμοιρον οὖσαν δυσχερειῶν τινων πάντες δήπου ἴσμεν. Εἰ δὲ καὶ τὴν μίαν ἐκείνην ἑρμηνείαν ποθοῖεν οἱ ἐντυγχάνοντες, τὴν ἀντιγραφὴν μέντοι τῶν ἤτοι ἀρχαίων ἢ νεωτέρων χωρίων, πολλῆς μὲν σοφίας ἐπιδεικτικὴν εἶναι, ὅλως δ᾽ ἀνεπισφαλῆ καὶ ἀνυπεύθυνον καὶ πάντη ἀκίνδυνον, ἔτι δὲ τῶν παχυτάτων ἐκείνων βίβλων, τῶν ἀναλώμασιν ἄλλων ἐκτυπουμένων, ἀπεργαστικήν, τίς οὐκ ἂν πείθοιτο;

Καὶ δίκαιοί εἰσι τοιαῦτα ποιεῖν οἱ τοιούτοις χρώμενοι λογισμοῖς. Ταῦτα γὰρ καὶ τὰ τοιαῦτα εὐδοκιμεῖ σήμερον παρ᾽ ἡμῖν, καὶ δὴ καὶ θαυμάζεται. Οὐ μὴν ἀλλ᾽ ἡ πολλῶν καὶ ποικίλων ἑρμηνειῶν παράθεσις δίκαιον ἂν ἕνα λόγον ἔχοι μόνον, εἰ ἑκάστη μέλλοι ἐξελέγχεσθαι. Ἀλλὰ πῶς ἂν τοῦτο ἐν τοιούτῳ λεξικῷ γένοιτο; Ἄλλοι δὲ πάλιν, ἀντὶ τοῦ ἑρμηνεύειν τὰ χωρία, σχόλιά τινα καὶ τὰ παράλληλα λεγόμενα χωρία παρατίθενται καὶ περιγραφάς τινας ἐπιτηδεύουσιν· ἃ πάντα προσήκει

φράσις, ἐν ᾧ φέρει τὸ κῦρος τόσων αἰώνων, φέρει ἅμα τὴν σφραγῖδα τὴν ἐθνικήν· ἐν ᾧ ἑκάστη φράσις, ἣν ἕκαστος ἡμῶν κατασκευάζει, εἶνε συνήθως προσωρινόν τι κατασκεύασμα.

«Καὶ δὲν εἶνε μόνος ὁ λεξικὸς καὶ φρασιολογικὸς πλοῦτος τῆς ἀρχαίας, ὅστις διεσώθη κατὰ μέγα μέρος ἐν τῇ σημερινῇ, εἶνε καὶ ἡ διατύπωσις τῶν νοημάτων, αὐτὰ πολλάκις τὰ νοήματα, παροιμίαι, παροιμιώδεις φράσεις κττ. Πάντα ταῦτα εἶνε τὰ ἄγραφα μνημεῖα τῆς γλώσσης, ἅτινα ὀφείλομεν νὰ τιμῶμεν καὶ περιέπωμεν, ὅπως καὶ τὰ ἄλλα μνημεῖα, ὧν κατ᾽ οὐδὲν ὑπολείπονται· εἶνε δὲ ἀσέβεια ν᾽ ἀπορρίπτωμεν αὐτὰ ὡς τὸ πρῶτον τυχὸν σκύβαλον. Εἶνε ἠκρωτηριασμένα καὶ παραμεμορφωμένα· ἀλλὰ μήπως καὶ τὰ ἄλλα εἶνε ὀλιγώτερον ἠκρωτηριασμένα καὶ συντετριμμένα; Ὅπως καὶ τῶν ἄλλων μνημείων πολλὰ ποθοῦνται ἀπολωλότα, οὕτω καὶ ἐν τοῖς μνημείοις τῆς γλώσσης ὑπάρχουσι πολλὰ τὰ ἐλλείποντα, ἀλλὰ τὰ ὑπάρχοντα εἶνε τοιαῦτα, ὥστε δύναταί τις, ἄνευ ὑπερβολῆς, νὰ τὰ χαρακτηρίσῃ ὡς τὰ ἄριστα μὲν σχόλια τῆς ἀρχαίας γλώσσης, ἀκρογωνιαίους δὲ λίθους τῆς σημερινῆς. Ἡ δημώδης εἶνε ἡ μόνη γέφυρα, ἥτις δύναται ἀσφαλῶς νὰ ὁδηγήσῃ ἡμᾶς εἰς τὴν κατανόησιν τῆς ἀρχαίας ὡς ζώσης γλώσσης, συγχρόνως δὲ αὕτη μόνη συνενώνει τὸν νῦν Ἑλληνισμὸν πρὸς τὸν παλαιόν, ὑποδεικνύουσα, ὡς εἴπομεν, τὴν ὑπάρχουσαν ἑνότητα. Ἀλλὰ δὲν θέλομεν νὰ ἐπωφεληθῶμεν· προτιμῶμεν νὰ μεταφράζωμεν τὴν ἀρχαίαν δι᾽ ἀντιστοίχων ξενικῶν ἐκφράσεων ψυχροτάτων καὶ ὄχι διὰ τῶν ζωντανῶν καὶ φερουσῶν τὸ κῦρος τόσων αἰώνων γνησίων Ἑλληνικῶν».

«Ἀπ᾽ αἰώνων ἤδη ἡ δημώδης καὶ αἱ ἐξ αὐτῆς φράσεις εὕρισκον πτωχικήν τινα γωνίαν ἐν τῇ λεγομένῃ *ψυχαγωγίᾳ*, ἐπ᾽ ἐσχάτων δὲ ἐν τῇ *ἐξηγήσει*. Ἀλλὰ δυστυχῶς καὶ ἡ ἐξήγησις αὕτη μικρὸν κατὰ μικρὸν ἐξηλείφθη ἐκ τῶν σχολείων, εὑρεθεῖσα περιττὴ καὶ ἐπιβλαβὴς (πῶς γὰρ οὔ;) οὐ μόνον διὰ τοὺς μαθητάς, ἀλλὰ καὶ δι᾽ αὐτοὺς τοὺς διδασκάλους καὶ καθηγητάς. Καὶ ὅμως καὶ αὐτὸς ὁ καθηγητής, ὁ συνηθισμένος ν᾽ ἀναγινώσκῃ τὴν ἀρχαίαν γλῶσσαν, θὰ ἐννοήσῃ πολὺ καλλίτερον αὐτήν, ὅταν προσπαθήσῃ νὰ φιλοτεχνήσῃ μετάφρασιν (διότι ἡ προσπάθεια αὕτη συμπίπτει μὲ τὴν προσπάθειαν, ὅπως ἐννοήσῃ καλλίτερον τὸ ἀρχαῖον κείμενον), ἔνθεν μὲν πιστήν, ἔνθεν δὲ διασῴζουσαν κατὰ τὸ ἐνὸν τὸν χρωματισμὸν καὶ τὸ κάλλος τοῦ ἀρχαίου λόγου. Τόσον εἶναι τοῦτο ἀληθές, ὥστε ἂν ὁ καθηγητὴς ὑποχρεωθῇ νὰ τυπώσῃ τὴν ἤδη δεδομένην εἰς τοὺς μαθητάς του μετάφρασιν, θὰ διορθώσῃ καὶ θὰ καλλωπίσῃ καὶ θὰ ῥινίσῃ αὐτὴν ἐπὶ πολὺν ἔτι χρόνον. Ἀκριβῶς δὲ τοῦτο εἶναι τὸ ἀναπτύσσον τὸ γλωσσικὸν αἴσθημα. Ἀλλ᾽ εἶνε ὅμως δύσκολον καὶ ἀπαιτεῖ κόπον, καὶ διὰ τοῦτο σήμερον ἀπὸ τοῦ Ἑλληνικοῦ σχολείου μέχρι τῆς ἀνωτάτης τοῦ Γυμνασίου τάξεως συμπεριλαμβανομένης, πλὴν ὀλίγων ἐξαιρέσεων, οἱ μαθηταὶ παρασκευάζουσι μόνοι των τὴν μετάφρασιν, οἱ δὲ καθηγηταὶ ἐνιαχοῦ μόνον διορθοῦσιν ἀπὸ στόματος τὴν δεῖνα φράσιν ἢ τὴν δεῖνα λέξιν. Οὕτω δὲ προχωροῦσιν ἀνεύθυνοι κατωτέρω λίαν ἀνέτως. Περιττὸν δὲ νὰ εἴπω, ὅτι ἡ τοιαύτη μετάφρασις πᾶν ἄλλο εἶναι ἢ ἐξήγησις τοῦ κειμένου, ἓν μόνον πλεονέκτημα (!) ἔχουσα, ὅτι πολλὰ ὀλίγον διαφέρει τῆς ἀρχαίας. Πλὴν τῆς ἀναλύσεως τῶν ἀπαρεμφάτων καὶ μετοχῶν, τῆς μονοτόνου μεταφράσεως τοῦ *ἄν*, τοῦ *γὰρ* καὶ τοῦ *οὖν*, καὶ δύο τριῶν ἄλλων, πάντα σχεδὸν τὰ ἄλλα εἶνε τὰ αὐτά. Ἀλλὰ πόθεν καὶ πῶς θὰ ἐπαναλάβῃ τὸ Ἑλληνικὸν μάθημα ὁ δυστυχὴς μαθητής; ἐπὶ τίνος ἐξηγήσεως στηριζόμενος; Εἰς τὸ ἐρώτημα τοῦτο δύναται ν᾽ ἀποκριθῇ οἱοσδήποτε μαθητής. Οἱ εὐπορώτεροι ἐξ αὐτῶν ἀγοράζουσι μεταφράσεις ἀγνώστου προελεύσεως καὶ ποιότητος, ἔργα, ὡς εἰκός, βιβλιοκαπηλικά, πολὺ πλέον βλάπτοντα ἢ ὠφελοῦντα, ἐκτὸς τινων ἐξαιρέσεων ἴσως. Ἀλλ᾽ ἡ ὀρθὴ ὅμως καὶ χρήσιμος καὶ ἁρμόζουσα εἰς τὸν μαθητὴν μετάφρασις, πόρισμα οὖσα ὀρθῆς συντάξεως, πρέπει νὰ ὑπομιμνήσκῃ πανταχοῦ τὴν σύνταξιν καὶ τοὺς λόγους, δι᾽ οὓς οὕτως ἔχει καὶ ὄχι ἄλλως· πρέπει νὰ φέρῃ πανταχοῦ καταφανῆ τὰ ἴχνη τῆς μετὰ τοῦ καθηγητοῦ συνεργασίας τοῦ μαθητοῦ. Διὰ ταῦτα ὀφείλει νὰ δίδῃ ὁ καθηγητὴς μίαν τοιαύτην μετάφρασιν, ἐξοδεύων μίαν ὥραν τὴν ἑβδομάδα ἢ ἄλλως, πρὸς ἀνυπολόγιστον ὠφέλειαν τοῦ γλωσσικοῦ τούτου μαθήματος (οὐ μὴν ἀλλὰ καὶ τοῦ γλωσσικοῦ ζητήματος). Αὕτη δὲ εἶνε μία τῶν αἰτιῶν, δι᾽ ἃς οἱ ἀρχαιότεροι ἐγνώριζον καὶ ᾐσθάνοντο κάλλιον ἡμῶν τὴν ἀρχαίαν γλῶσσαν». (Ταῦτα πρὸς ἄλλοις ἔγραφον ἐν τῇ *Ἁρμονίᾳ* τῷ περιοδικῷ, τῷ 1901).

μέν τι καὶ λόγον τινὰ πρὸς τὸ παραβαλλόμενον χωρίον ἔχει, καί πως διασαφητικὰ τυγχάνει ὄντα, ἀλλ᾽ οὐδαμῶς ἑρμηνευτικά ἐστι, τῆς μὲν περιγραφικῆς, εἰ ἔξεστι λέγειν, ἑρμηνείας τῇ πολλῶν χωρίων παραθέσει καὶ τοῖς ἄλλοις σχολίοις κατορθουμένης, τῆς δ᾽ ἀκριβοῦς ἑρμηνείας ἐπισκέψεως πολλῆς καὶ πόνου δεομένης.

Φανερὸν δ᾽ ὅτι μία ὀρθὴ ἑρμηνεία πλέον τὴν ἐπιστήμην ὠφέλησεν ἢ πολλαὶ συλλήβδην ἡμαρτημέναι. Ἀλλὰ μὴν κἀνταῦθα τὰ ἐξαιρετέα ἐξαιρῶ, καὶ δὴ ὅπου ἂν ἀμφιγνοῶν μὴ βεβαίαν μηδ᾽ ἀσφαλῆ γνώμην ἀποφαίνεσθαι ἔχω. Σημειωτέον μέντοι ὅτι, ὅπου ἂν τῇ προεκκειμένῃ ἑρμηνείᾳ μὴ ἀγαπῶ ἢ καὶ παντελῶς μεταγιγνώσκω, ὅπερ ἐπὶ ῥήσεων ἀπόρων, τῆς προσηκούσης ἐπεξεργασίας οὔπω τυχουσῶν, γίγνεσθαι φιλεῖ, ἑτέραν ὀρθοτέραν ἑρμηνείαν παρατίθεσθαι φροντίζω ἐν ἄλλῳ τόπῳ, ἐν ᾧ τὸ χωρίον πάλιν μνημονεύεται. Τὰ δὲ χωρία ἐν τῇ κυριωτάτῃ ὡς τὸ πολὺ παρατίθεται καὶ ἑρμηνεύεται λέξει, ἣν δεῖ ἐν νῷ ἔχοντα τὸν ζητοῦντα ζητεῖν. Εἰ δ᾽ ἔν τισι τῶν εἰδικῶν λεγομένων λεξικῶν τὸ χωρίον ἐν ἑκάστῃ αὐτοῦ λέξει ἐπαναλαμβάνεται, τοῦτο τοῖς μὲν χρωμένοις εὐμάρειάν τινα παρέχει, ἀλλὰ καὶ μέγαν τῷ λεξικῷ ὄγκον περιποιεῖ. Ἐγὼ δ᾽ ὡς τὸ πολὺ τὸ χωρίον μόνον ἐν ταῖς κυριωτέραις τῶν λέξεων, οὐχὶ δ᾽ ἐν πάσαις μνημονεύω, συντομίας χάριν. Πολλαχοῦ δὲ τοῦτο ἐπιτηδεύω, ἵν᾽ ἤτοι ὀρθοτέραν τῆς ῥήσεως ἑρμηνείαν παραθῶμαι, ἢ κάλλιον σαφηνίσω αὐτὴν (ἴδε π. χ. *τολμῶ* παρ᾽ Αἰσχύλῳ καὶ *σκῦτος* παρ᾽ Ἡρώνδᾳ). Δεῖ οὖν, καὶ ἐπάν τις τὸ χωρίον ἀνεύρῃ, καὶ ἐν ἄλλῃ λέξει ἀναζητεῖν, ἤν πως ὀρθοτέρᾳ ἑρμηνείᾳ ἐντύχῃ. Δεύτεραι γὰρ φροντίδες ἀεὶ σοφώτεραι. Πολλαχοῦ δὲ καὶ λέξεις, ἄλλως ἀχρήστους, ἐμνημόνευσα, μόνον ἵνα τὴν λέξιν, *ἐν ᾗ* τὸ χωρίον ἡρμηνευμένον εὕρηται, δηλώσαιμι.

Ἐπεὶ δ᾽ ὡς τὸ πολὺ τὸ ῥῆμά ἐστιν ἡ τοῦ λόγου κρηπὶς καὶ τὸ θεμέλιον, καὶ μετ᾽ αὐτοῦ μὲν συνυφίσταται ὁ λόγος, ἄνευ δ᾽ αὐτοῦ κατερείπεται καὶ ὑπορρεῖ καὶ οἷον ἀνυπόστατος, ὥσπερ κάλαμος, τῇδε κἀκεῖσε φέρεται, τούτου ἕνεκα ἐν τῷ περὶ ῥημάτων λόγῳ, καὶ ἄλλως μηκυνομένῳ, παρεθέμην μὲν τὰ χωρία, προσπαρεθέμην δὲ καὶ τῶν ῥημάτων τοὺς τύπους. Ἐπεὶ γάρ, ὡς ἔφθην εἰπών, τὸ ῥῆμα, πολλὰ χωρία περιειληφός, πλείστης ἑκασταχοῦ ἐκτάσεως ἔτυχεν, εἰκὸς ἦν καὶ τοὺς τύπους τοῦ ῥήματος, πολλάκις τῆς τοῦ χωρίου ἑρμηνείας οὐκ ἀλλοτρίως ἔχοντας, μνημονευθῆναι. Τοὺς δὲ τῶν ῥημάτων, ἔτι δὲ καὶ τῶν ὀνομάτων, ὅσους μνημονεύω τύπους, ἐπὶ δὲ τούτοις καὶ πολλὰ ἄλλα γραμματικὰ κεφάλαια, ἐκ τῆς τοῦ Κυνέρου γραμματικῆς τῆς ὑπὸ τοῦ πολλοῦ Βλασσίου ἐπεξειργασμένης παρέλαβον, εὐμενῶς συναινέσαντος τοῦ σοφωτάτου ἀνδρός. Οὐ μὴν ἀλλὰ καὶ ἐν τοῖς γραμματικοῖς τούτοις ζητήμασιν, ὁ σκοπὸς αὐτὸς τοῦ πονήματος οὐ παρεώραταί μοι, εἰς μὲν τὰ δυσχερῆ καὶ δυσεπίλυτα καὶ ἄπορα ἀείποτε ἀποβλέψαντι, τὰ δ᾽ εὐχερῆ καὶ πρόχειρα καὶ εὐνόητα πάνθ᾽, ὡς ἔπος εἰπεῖν, ἀμεταμελήτως χαίρειν ἐάσαντι. Ὁ ἀοίδιμος ἐκεῖνος ἀνήρ, ὁ Φρειδερίκος Βλάσσιος, ἐν τοῖς πρώτοις ἦν τῶν Γερμανῶν φιλολόγων, εἴπερ τις ἄλλος ἄριστα ἐν τῇ φιλολογίᾳ κατηρτισμένος τε καὶ πεπαιδευμένος. Φύσει δ᾽ ὀξυνούστατος ὢν πολλὰ φιλολογικὰ ζητήματα, ἄλλως δυσεπίλυτα, εὐχερῶς ἅμα καὶ ὀρθῶς ἐπιλύειν ἠδύνατο· ὃ μαρτυροῦσιν οὐ μόνον πολλαὶ τῶν Ἑλλήνων συγγραφέων καὶ ποιητῶν ἐκδόσεις, ἐν αἷς ὑφηγεῖσθαι τοῖς ἄλλοις ἐφίλει, ἀλλὰ καὶ πολλὰ ἄλλα θεωρητικὰ πονήματα σπουδαιότατα, οἷα τὰ περὶ τῶν Ἀττικῶν ῥητόρων, τὰ ἐπιγραφικὰ καὶ παλαιογραφικά, τὰ ἑρμηνευτικὰ καὶ κριτικὰ καὶ ἄλλα. Καὶ μὴν ὁ ἀείμνηστος ἀνὴρ ἄριστα μὲν κατενόει, ἄριστα δ᾽ ἡρμήνευε τὴν Ἑλληνίδα φωνήν, καλλιεπῶς δὲ καὶ ὀρθοεπῶς ἔγραφε, καὶ δὴ πολὺ ὀρθότερον ἄλλων Γερμανῶν τῷ Ἑλληνίζειν ἐνασμενιζόντων καὶ ἐπιδεικνυμένων, ὡς προσεπιμαρτυρεῖν ἔχω αὐτός, οὐκ ὀλίγα πολλάκις τοῦ ἀνδρὸς Ἑλληνιστί μοι ἀντεπιστείλαντος. Πολλὴν δ᾽ ἐγὼ καὶ χάριν καὶ διδασκαλίαν τῇ τοῦ μακαρίτου φιλόφρονι προθυμίᾳ ὀφείλω. Νῦν δ᾽ ἀποθανόντα πολλαχῶς πολλοὶ πολλάκις εὖ οἶδ᾽ ὅτι μνημονεύσουσί τε καὶ ποθήσουσιν, ἐν δὲ τοῖς πρῶτοι οἱ φίλοι.

Τῶν δὲ χωρίων οὐ τμήματά τινα καὶ μόρια βραχύτατα, οἷα νῦν φιλοῦσιν οἱ πολλοί, παράκειται, ἀλλ᾽ ὡς τὸ πολὺ γενναῖά τινα τεμάχη, καλὴν μὲν διάνοιαν, καλὴν δὲ λέξιν καὶ φράσιν, γνησίως δ᾽ Ἑλληνικὴν καὶ οὐ πεπλασμένην. Πολλὰ δὲ τοιαῦτα χωρία πολυθρύλητοί εἰσι γνῶμαι ἢ παροιμίαι, καὶ ῥήσεις γενναῖαι, ῥᾳδίως ὑπὸ τῶν μνημονικωτέρων ἀπομνημονευόμεναι. Ἐν δὲ τούτοις οὐκ ὀλίγα ἐστὶ πλεῖστον διαφέροντα τὰ μὲν ταύτῃ τὰ δ᾽ ἐκείνῃ τοῖς φιλαρχαίοις καὶ φιλολόγοις. Εἰ δέ τις καὶ

τὰς λέξεις θεωροίη, ἴστω ὅτι, καίπερ οὐ πάσας τὰς λέξεις τοῦ παρόντος λεξικοῦ παρεχομένου, ὅμως κατακεχωρισμέναι εὕρηνται καί τινες παντάπασι νέαι, ὡς *βουγενής*, *λεσχήν*, *ὀξυπαραύδητος*, *παύσυβρις*, καὶ εἴ τις ἄλλη.

Τὴν δὲ σύνταξιν μόνον εἴ που ἀναγκαῖον ἐδόκει προδιετύπωσα, πολλαχῶς δηλώσας καὶ διασαφήσας, πάντως μέντοι ἀνελλιπέστερον ἐν τοῖς μετὰ τὸ Ε στοιχείοις. Καὶ ἐν ἀρχῇ μὲν ὡς ἐν τύπῳ ἐδήλωσα, ὕστερον δὲ καὶ προσδιεσάφησα, τῆς διασαφήσεως μόνον, εἴ που δυσχέρειά τις ὑπῆν, προσγενομένης, ἅτε δὴ ἐμοῦ καὶ ἐνταῦθα, ὥσπερ καὶ ἀλλαχοῦ, διασαφοῦντος μὲν τὰ δυσχερῆ καὶ διὰ πλειόνων πραγματευομένου, τῶν δ᾽ εὐχερεστέρων ἤτοι ὀλιγωροῦντος ἢ διὰ βραχυτάτων ἐξηγουμένου. Εἰ δὲ μὴ τῷ αὐτῷ τρόπῳ πανταχοῦ ἐν τῷ τὴν σύνταξιν ὑποτυποῦσθαι ἐχρησάμην, δῆλον ὅτι ὅσῳ πορρωτέρω ἐν τῇ τοῦ πονήματος ἀπεργασίᾳ ἐχώρουν, τοσούτῳ ἤτοι τελειοτέραν τὴν μέθοδον ἐξεύρισκον, ἢ τὴν ἤδη εὑρημένην συνεπλήρουν. Τὴν δὲ σημασίαν, καὶ δὴ τὴν σημασιολογίαν καλουμένην, οὐ δι᾽ ἀκριβείας πανταχοῦ ἐπεξῆλθον, ὑπό τι περιττὸν τοῦτο ἡγησάμενος, οὐ μόνον διὰ τὸ τὴν τῶν χωρίων ἑρμηνείαν παρακεῖσθαι, ἀλλ᾽ ἔτι μᾶλλον, ὅτι ἀνάγκη ἂν ἦν καὶ τῆς εὐχερεστέρας χρήσεως παραδείγματα προσπαραθέσθαι, ὅπερ τῇ ἐμῇ δήπου βουλήσει ὑπηναντιοῦτο. Οὐ μὴν ἀλλ᾽ ὅπου ἀναγκαῖον ἐφαίνετο καὶ σκόπιμον εἶπον τὰ δέοντα.

Ἐν τῷ λεξικῷ τούτῳ πολὺς ἀποτεθησαύρισται πόνος, οὐ φανερὸς μᾶλλον ἢ λανθάνων καὶ τῷ πρῶτον καὶ τῷ δεύτερον καὶ τῷ τρίτον σκοποῦντι, ἄλλως τε καὶ ὅτι οὐδεὶς οὕτω καρτερικὸς ἂν εἴη, ὥστ᾽ ἀπ᾽ ἀρχῆς εἰς τέλος τὸν πόνον διεξελέγχειν, καὶ δὴ κριτικῶς. Δῆλον μέντοι, ὅτι τοῦ λόγου ἐξαιρῶ τῶν παρ᾽ ἡμῖν τοὺς ἔργον ποιουμένους τὰ μὲν τῶν ἑταίρων θαυμάζειν ἀεὶ ἐπὶ σοφίᾳ, τὰ δὲ τῶν ἀλλοτρίων, καὶ δὴ τῶν ἀντιτέχνων, παντί τε τρόπῳ καὶ πάσῃ μηχανῇ ἐπικρίνειν καὶ ἐλέγχειν καὶ διασύρειν καὶ συκοφαντεῖν, ἔκ τε προαιρέσεως καὶ ἐπιτηδεύσεως, κατὰ στάσιν. Τῇ γὰρ τοῦ ὅλου ἐξ ἐλαχίστου μέρους ἀποδεικτικῇ δῆθεν μεθόδῳ χρώμενοι τῶν μὲν ἑταίρων καὶ φίλων ἐπιεικέστατοι καὶ συγγνωμονικώτατοί εἰσι κριταί, καὶ πλεῖστα σφαλλομένων, ἅτε δὴ τῶν σφαλμάτων οὐδένα λόγον ποιούμενοι, τῶν δ᾽ ἀντιτέχνων, καὶ πλεῖστα κατορθούντων, αὐστηρότατοι καὶ πικρότατοι ἐπιτιμηταί, τὰ μὲν κατορθώματα παντὸς ἐξαιροῦντες λόγου καὶ παντελῶς παρορῶντες καὶ σιωπῶντες, μόνα δὲ τὰ σφάλματα διαμνημονεύοντες καὶ ἐκ παντὸς τρόπου διασύροντες. Ἔστι δ᾽ ἄρ᾽ ἄλλο μὲν τὸ τἀλλότρια ἐπανορθοῦν καὶ ἐξελέγχειν (ὃ ῥᾷστόν ἐστιν), ἄλλο δὲ τὸ κατορθοῦν αὐτὸν προὔργου τι ποιοῦντα. Ἀλλ᾽ ἐπὶ τὸ προκείμενον ἐπανιὼν φημὶ δὴ καὶ ἓν μόνον χωρίον πολλάκις πολλοῦ μὲν πόνου, πολλοῦ δὲ χρόνου εἰς ἐξακρίβωσιν προσδεηθῆναι, ἄλλως τε καὶ ἐπειδὴ προσηνάγκαζον ἐμαυτὸν ἐπὶ πάντων, καὶ ἐπὶ τῶν εὐχερεστέρων ὁμοίως καὶ τῶν δυσχερεστέρων χωρίων, πάσας τὰς ἐκδόσεις καὶ τὰ ἄλλα βοηθητικὰ βιβλία ἐπισκοπεῖν, ἵνα μή τι ῥηθέν με λανθάνοι. Πολλὰ δ᾽ ἐστὶ τὰ ἐν τῷδε τῷ λεξικῷ ἑρμηνευόμενα χωρία, οὐκ ὀλίγα δὲ καὶ τὰ ἐπανορθούμενα, τὰ δ᾽ ἄνευ ἐπανορθώσεως σαφηνιζόμενα πολὺ πλείονα. Εἰ δὲ πάντα τὰ χωρία, περὶ ὧν ἰδίαν γνώμην ἀπεφηνάμην, οὐκ ὀρθῶς ἐπιλέλυται, — τίς γὰρ ἂν τοιοῦτό τι καὶ ἐπικομπάσειεν; — ἐλπίζω πάνυ τὴν ἐμὴν γνώμην, καὶ εἰ μὴ πάνυ ὀρθοῖτο, ὀρθοτέρας γνώμης ἄλλοις αἰτίαν ἔσεσθαι.

Τὸ δὲ πρῶτον μέρος τοῦ παρόντος λεξικοῦ, τὸ πρῶτον νῦν ὑποτυπουμένου, εἰκότως ἀτελέστερόν πως τοῦ λοιποῦ τυγχάνει ὄν. Ἐν γὰρ τῷ μεταξὺ χρόνῳ πλεῖστα μὲν ὅσα χωρία νέα, πολλὰς δ᾽ ἄλλας ἑρμηνείας ἤτοι αὐτὸς ἢ ἄλλοθεν ἐξεύρισκον, ἐπὶ δὲ τούτοις νέας ἐκδόσεις καὶ ἄλλα ἑρμηνευτικὰ συγγράμματα καὶ τὰ τοιαῦτα. Ὃ γιγνόμενον ἐν πᾶσι τοῖς λεξικοῖς πάντες ἴσασιν, ἅτε δὴ πολλοῦ χρόνου καὶ τῆς ἐξεργασίας δεομένης καὶ τῆς ἐκτυπώσεως. Ἀλλ᾽ ἵνα καὶ ἐν τούτῳ τὸ πόνημα μὴ ὑπολείποιτο, καὶ παράρτημα, ἐν ᾧ ἑρμηνεύεται μὲν τὰ παραλειφθέντα ἐπανορθοῦται δὲ τὰ ἐπανορθωτέα, προσέθηκα.

Παιδαγωγικῆς δὲ καὶ ἄλλης διδασκαλίας πλεῖστον μετέχει ἡ βίβλος, καὶ ἄλλως καὶ τῷ τοὺς παλαιοὺς προγόνους ἐπεισάγειν διανοουμένους τε καὶ διαλεγομένους καὶ αἰσθανομένους καὶ οἷον παραβάσει τινὶ χρωμένους, τὰ δὲ παλαιὰ ἐκεῖνα διανοήματα καὶ φρονήματα οὐ δι᾽ ἑρμηνέων ἐκφέροντας, ἀλλ᾽ αὐτοὺς δι᾽ ἑαυτῶν, πλὴν ὅτι πάντα ταῦτα τῇ νεωτέρᾳ ἡμῶν φωνῇ, οἷον μετημφιεσμένα, ἐξαγγέλλεται. Πᾶν δὲ νέον χωρίον ὀρθῶς ἑρμηνευόμενον καὶ νέαν ἔννοιαν καὶ νέον τι φρόνημα

παρεχόμενον εὑρίσκεται. Πῶς δ᾽ οἴει ἡμᾶς ἥδεσθαί τε καὶ εὐφραίνεσθαι, πῶς δ᾽ αὔξεσθαι καὶ προάγεσθαι ἡμῖν τὰ τῆς γλώσσης νοοῦσί τε καὶ φρονοῦσι καὶ αἰσθανομένοις, ὁρῶσιν, ὅτι τοσούτου χρόνου διαγενομένου, πολλὰ διανοήματα καὶ φρονήματα τῷ αὐτῷ τρόπῳ τε καὶ τύπῳ διατελεῖ καὶ χαίρει ἐκφερόμενα;

Ὅτι δ᾽ ἐν τοσαύταις χωρίων μυριάσι πάντως πολλοῖς τισιν ἁμαρτήμασι περιπεπτωκὼς ἂν εἴην, οὐδὲν θαυμαστόν, τοῦτο μὲν λογιζομένῳ τὴν ἀνθρωπείαν φύσιν οὐδὲν μὴ ἐξαμαρτάνειν οὐχ οἵαν τ᾽ οὖσαν, τοῦτο δὲ καὶ τὰς πολλὰς τῶν ἑρμηνευομένων χωρίων, ὧν ἔνια τὸ πρῶτον νῦν ἑρμηνεύεται, δυσχερείας σκοπουμένῳ. Ὁ περὶ τὰ τοιαῦτα σπουδάζων ἔοικεν ἀγνώστους χώρας διαπορευομένῳ καὶ ἐκτὸς τῆς καθημαξευμένης ὁδοῦ ἤτοι ἰέναι ἀναγκαζομένῳ ἢ καὶ παραγομένῳ. Τὸν οὖν τοιοῦτον εἰκὸς *ἀλλαχοῦ* μὲν προσπταίοντα σφάλλεσθαι καὶ ἐκτρέπεσθαι, πολλαχοῦ δὲ καὶ ὀρθοῦσθαι τοῖς ἐπιγιγνομένοις τὴν ὁδόν, ᾗ δεῖ βαδίζειν, ὑποδεικνύντα. Μόνοι γὰρ οἱ πιστῶς καὶ ἀκριβῶς τὰ ἀλλότρια ἐκγράφοντες χωρία οὐ πολλὰ ἐξαμαρτάνουσιν, ἀλλὰ τοὺς ἀνθρώπους πεφυκότας καί, οἷα δὴ ἄνθρωποι, διανοουμένους καὶ δὴ καὶ συγγράφοντας οὐκ ἔστι μὴ οὐ σφάλλεσθαι. Τοιοῦτον δὲ λεξικὸν νῦν τὸ πρῶτον ἐκδίδοται. Πολλάκις δ᾽ οὖν ἀναμιμνῄσκομαι τῶν τοῦ Ξενοφῶντος καλλίστων ῥημάτων ἐκείνων (Ξεν. Ἀπ. Β΄, η΄, ε΄): *Οὐ πάνυ γε ῥᾴδιόν ἐστιν εὑρεῖν ἔργον, ἐφ᾽ ᾧ οὐκ ἄν τις αἰτίαν ἔχοι· χαλεπὸν γὰρ οὕτω τι ποιῆσαι ὥστε μηδὲν ἁμαρτεῖν, χαλεπὸν δὲ καὶ ἀναμαρτήτως τι ποιήσαντα μὴ ἀγνώμονι κριτῇ περιτυχεῖν*». Ἀλλὰ τοῦτο μὲν ἀφορμὴν ἐνδίδωσιν ἄλλοις, ἀκριβέστερον τὸ πρᾶγμα ἐξετάσαντας καὶ ἐρευνήσαντας, ἀνευρεῖν τὴν ἀλήθειαν, ἣ πολλάκις ἐν πολλῷ τινι ἀποκειμένη βάθει, δυσδιεξιτήτῳ τε καὶ δυσερευνήτῳ, οὔτε ὁρατὴ οὔτε ἁπτή, οὔτε ἄλλως προσιτὴ τυγχάνει οὖσα, ἡ δ᾽ ἀλήθεια ὅμως σκοπὸς τῆς ἐπιστήμης.

Εἰ δ᾽ ἐξεγένετό μοι τῷ Ὁρατίου παραγγέλματι κατακολουθεῖν, καὶ εἰ μὴ ἐννέα Διὸς μεγάλου ἐνιαυτούς, ἀλλὰ γοῦν τὸ ἥμισυ τοῦ χρόνου τὴν τοῦ λεξικοῦ τοῦδε ἔκδοσιν ἀναβάλλεσθαι, πάντως ἂν τελειότερον καὶ ἀρτιώτερον ἐξειργασάμην. Νῦν μέντοι τὸ μὲν καὶ αὐτὸς σπεύδων καὶ οἷον ὑπὸ τοῦ προβεβηκότος μοι χρόνου διωκόμενος, ἐπὶ τὴν τῆς βίβλου τελευτὴν πάντα τρόπον ἵεμην. Τοῦ γὰρ βίου βραχέος ὄντος, τῆς δὲ τέχνης μακρᾶς, οὐ διέλιπον ἐννοούμενος, μήποτε ἡ ἐμὴ τελευτὴ τὴν τῆς βίβλου προκαταλάβοι· εἰ δ᾽ ἀτελὴς καταλειφθείη, πῶς ἂν τελειοτέραν γενέσθαι ὑπὸ τοῦ διαδεξομένου με, εἴ τις καὶ διαδέξαιτο εἰς συμπλήρωσιν, ἢ εἴπερ ὑπ᾽ ἐμοῦ αὐτοῦ, καὶ σπεύδοντος, εὖ τε καὶ χεῖρον συμπληρωθείη; Ἦν δὲ καὶ ἕτερόν τι τὸ τὴν ἐμὴν σπουδὴν παροξῦνον, ὅτι τοῦ ἀοιδίμου χορηγοῦ ἐν τῷ μεταξὺ τελευτήσαντος, ὁ κληρονόμος πάντας τοὺς τῆς Βιβλιοθήκης μετέχοντας, ἀναπετάσαντας τὰ ἱστία πλησιστίους ἐπὶ τὸ τέρμα κατάγεσθαι ἐκέλευεν. Εἰ γὰρ πλέον τοῦ ἐνιαυτοῦ διαγένοιτο, πρὶν τὰ τῆς Βιβλιοθήκης πονήματα ἐκτυπωθῆναι, τὴν λοιπὴν δαπάνην οὐκ ἀναδέχεσθαι. Οὕτω δὴ τῇ ἐμῇ σπουδῇ ἑτέρας ἐπιγενομένης, εἰκὸς τοὺς τῇ βίβλῳ τῇδε τῇ κατεσπευσμένῃ μᾶλλον ἢ κατεσπουδασμένῃ χρησομένους, συγγνώμονάς μοι καὶ ἐπιεικεῖς εἶναι, τὰ τοῦ Πλουτάρχου σοφὰ ῥήματα διαμνημονεύοντας: «Ἡ ἐν τῷ ποιεῖν εὐχέρεια καὶ ταχύτης οὐκ ἐντίθησι βάρος ἔργῳ μόνιμον οὐδὲ κάλλους ἀκρίβειαν· ὁ δ᾽ εἰς τὴν γένεσιν τῷ πόνῳ προδανεισθεὶς χρόνος ἐν τῇ σωτηρίᾳ τοῦ γενομένου τὴν ἰσχὺν ἀποδίδωσι» (Πλουτ. Περικλ. κεφ. 13).

ΣΥΝΤΕΤΜΗΜΕΝΑΙ ΛΕΞΕΙΣ, ΑΞΙΑΙ ΣΗΜΕΙΩΣΕΩΣ

Ἀ. Β. = Ἀνέκδοτα Βεκκέρου.
ἀδ = ἀδέσποτος.
ἀλλ. = ἀλλαχοῦ.
ἀναπ. = ἀνάπαιστος.
ἀναφ. = ἀναφέρεται.
Ἀπ. = ἀπόσπασμα.
ἀπρφ. = ἀπαρέμφατος.
Ἀρφ. = Ἀριστοφάνης.
γρ. = γράφε, γραφή, γραπτέον
Δ. Γ. = διάφορος γραφή.
Df ἢ *Ddf* ἢ *Dind.* = Dindorf.
ἔγρ. = ἔγραψε.
εἰδ. = εἰδικός.
ἐν. = ἐνεστώς.
ἑν = ἑνικός.
ἐνν. = ἐννοεῖται.
ἐπ. = ἐπικός (-κῶς).
ἰδ. = ἰδίως.
ἴδ. = ἴδε.
ἴσ. = ἴσως.
κ. = κεφάλαιον.
κἀλλ. = κἀλλαχοῦ.
κατ. = κατωτέρω.
κἑ. = καὶ ἑξῆς.
λ. = λέξις.
μ. = μέλλων.
μελ. μελικός.
μτβ. = μεταβατικός.
μτγ(ν). = μεταγενέστεροι.
μτφ. = μεταφορά, μεταφορικός (-κῶς).
παρ. = παροιμία.
πλ. = πληθυντικός.
πλ. γρ. = πλημμελὴς γραφή.
Πλ. = Πλάτων.
πρ. = πρόσωπον.
πρκ. = παρακείμενος.
πρτ. = παρατατικός.
ῥ. = ῥίζα.
σ. = σελίς.
σημ. = σημασία, σημαίνει· καὶ = σημειωτέον.
σύντ. = σύνταξις.
συντ. = συντάσσεται.
Σχ. = σχολιαστής, σχόλιον.
τρ. ἢ *τραγ.* = τραγικός.
τριμ. = τρίμετρος.
χ/φον ἢ *χ/φα* = χειρόγραφον (-φα).

Αἱ ἄλλαι συγκεκομμέναι λέξεις εἶνε οἴκοθεν δῆλαι. Αἱ παραπομπαὶ γίνονται εἰς τὰς νεωτάτας ἐκδόσεις.

ΛΕΞΙΚΟΝ ΕΡΜΗΝΕΥΤΙΚΟΝ

ΤΩΝ

ΕΝΔΟΞΟΤΕΡΩΝ ΕΛΛΗΝΩΝ ΠΟΙΗΤΩΝ

ΚΑΙ ΣΥΓΓΡΑΦΕΩΝ

Α

ἀάω (ἀϜάω· πρβ. αὐάταν ⏑ ⏑ – τ. ἔ. ἀϜάταν = ἄτην Πίνδ. Π. 2, 28. 3, 24· ἶσ' ἀάτῃσι Ἡσ. Ἔργ. 352 ἐπιστώθη ἐκ παπύρου. Λακων. ἀάβακτος Ἡσ. (πρβ. ἀϜάζω) ἀντὶ τοῦ ἀάατος) ἐπ. ποιητ. = βλάπτω, ὡς ἄτη = βλάβη· τὸ πρῶτον α εἶνε βραχύ. Ὁ ἐνεστὼς δὲν εὑρίσκεται, ἀντὶ δὲ τούτου ἀάσκει βλάπτει Ἡσ. Ἀόρ. ἄασας Θ 237· ἄασε (ᾰᾰ) Μάτρων π. Ἀθήν. 135 Β (ἐκ διορθ. Σκαλιγέρου: εἴασε), ἆσε λ 61, ἄασαν (ᾰᾱᾰ) κ 68, ἄσας Ἀπ. Σοφ. 571. ἆσαι Ἀπ. Αἰσχ. 417. — Μέσ. ἀᾶται Τ 91. 129. ἀασάμην (ᾱᾰσ-) Ι 116. 119. Τ 137, ἀάσατο (ᾰᾱσ-) Ι 537, ἀάσατο (τὸ πρῶτον α μακρὸν) Λ 340. Τ 95, ἀασάμεσθα (ᾰᾰσ-) Κ. Σμυρν. 5, 422. 9, 509. ἀάσθην (τὸ πρῶτον α βραχὺ) Τ 136, ἀάσθης Ὕμν. Δήμ. 258, ἀάσθη Τ 113, ἀάσθη Ὕμν. 246 (τὸ πρῶτον α μακρόν). Ὑποτ. ἀασθῇ Ἡσ. Ἔργ. 283. ἀασθεὶς (ᾰᾰσ-) φ 301. Ἐπίθ. ῥ. ἄατος (ᾰᾰ) βλαπτικός Ἀπ. Ῥ. 1, 459. ἀάατος (ᾰᾱᾰ) ἄνευ βλάβης χ 5. ἀάατος (ᾰᾰα) Ξ 271. ἄνατος Αἰσχ. Ἀγ. 1210. Σοφ. Ο. Κ. 786.

Σημαίνει: βλάπτω (πνευματικῶς), ἀποτυφλώνω, ἀπομωραίνω, ἀπατῶ. Ζεῦ, ἦ ῥά τιν' ἤδη τῇδ' ἄτῃ ἄασας; Θ 237 ἆρά γε ἔβλαψας ἤδη τινὰ μὲ αὐτὴν τὴν συμφοράν, τὴν ἀπομώρανσιν; ἄασάν μ' ἕταροί τε κακοὶ πρὸς τοῖσί τε ὕπνος κ 68 μὲ ἀπετύφλωσαν. Ὁμοίως λ 61. — Μέσ. ἐν τῇ αὐτῇ σημ. Ἄτην ἣ πάντας ἀᾶται (ἐτυμολογία) Τ 91 ὅλους ἀποπλανᾷ. Τ 129. Ὁ ἀόρ. ἀασάμην = ἥμαρτον, ἀπεβλακώθην Ι 116. Τ 137. ἀάσθην Τ 136 παρεπλανήθην, ἀπετυφλώθην (ἰσοδυναμεῖ τῷ ἐφεξῆς: καί μευ φρένας ἐξέλετο Ζεύς). ἀάσατο μέγα θυμῷ Ι 537. Λ 340 ἀπετυφλώθη, ἀπεμωράνθη πολὺ εἰς τὴν ψυχήν του. — Ζῆν' ἄσατο (Ἄτη) Τ 95 παρεπλάνησεν, ἀπετύφλωσεν (ἰσοδυναμεῖ τῷ ἐφεξῆς ἀπάτησεν). Καὶ κατὰ σύστοιχον σύνταξιν ἤμβροτον ἀασάμην τε κακὴν ἄτην Ἀπολλ. Ῥ. 2, 623 οἷον ἐβλάβην κακὴν βλάβην: ἔπαθον κακὴν συμφοράν. — μέγ' ἀάσθη Π 685 ἀπετυφλώθη πολύ, καὶ δ 503. φρεσὶν ᾗσιν ἀασθεὶς φ 301 ἀποτυφλωθείς. νήκεστον ἀάσθη (-σθῇ Δ. Γ.) Ἡσ. Ἔργ. 283 ἀνιάτως ἐβλάβη: ἀνίατον βλάβην ὑπέμεινε.

ἀβακέω (ἐκ τοῦ ἀβακής, βάζω) μόνον ἐν δ 249 ἀβάκησαν πάντες, ἐγὼ δέ μιν οἴη ἀνέγνων δὲν τὸν ὡμίλησαν (διότι δὲν τὸν ἐγνώρισαν): «ἠγνόησαν» Σχ. «ἄφωνοι δι' ἄγνοιαν» Μ. Ἐ. πρβ. ἀβακής, ἀβακιζόμενος.

ἀβακής (βάζω) 2 ἄλαλος ὡς νήπιον, ἁπλοϊκός, ἀθῷος· ἀλλ' ἀβάκην τὰν φρένα ἔχω Ἀπ. Σαπφ. 72 = ἡσύχιον.

ἀβάκχευτος 2 ὁ ἄνευ βακχικοῦ ἐνθουσιασμοῦ, ἐμπνεύσεως. Ποτνιάδες θεαί, ἀβάκχευτον αἳ θίασον ἐλάχετ' ἐν (ἐλλάχετε Nauck) δάκρυσι καὶ γόοις Εὐρ. Ὀρ. 319 αἱ ὁποῖαι ἔσχετε τὸν κλῆρον (τὴν ἀποστολὴν) ν' ἀποτελέσητε θίασον ὄχι βακχικοῦ ἐνθουσιασμοῦ (χαρᾶς) μέτοχον ἀλλὰ δακρύων καὶ γόων. ‖ ὁ οὐ μεμυημένος τὰ μυστήρια τοῦ Βάκχου· τῶν Διονύσου ὀργίων ἀτέλεστος (Λουκ. Συμπ. 3) Εὐρ. Βάκχ. 472.

ἄβαλε (ἄλλοι: ἀβάλε, κυρ. ἆ βάλε) = εἴθε, μτγν. (–⏑⏑). Συντ. μετὰ παρωχημ. ὁριστ. πρὸς δήλωσιν εὐχῆς μὴ πληρωθείσης, ἀβάλε μηδ' ἀβόλησαν (ἴδ. ἀβολέω) Ἀπ. Καλλιμ. 455. ἀβάλε μηδ' ἐγένοντο γάμοι Ἀνθολ. 7,583 εἴθε νὰ μὴ ἐγίνοντο γάμοι. Καὶ μετ' ἀπαρ. ἄβαλε μήτε σε κεῖνος ἰδεῖν Ἀνθολ. 7,699 εἴθε μήτε ἐκεῖνος νά σε ἔβλεπε. Συχνὸν τοῖς μτγν. κατὰ τὴν μαρτυρίαν τοῦ Ἀπολλωνίου (Περὶ συνδ. ἐν Ἀ. Β. 522) καὶ ἄνευ τοῦ ἐν ἀρχῇ α: «τὸ αὐτὸ δηλοῖ βάλε δὴ βάλε (= εἴθε) κηρύλος εἴην», ὅπερ εἶνε Ἀπ. τοῦ Ἀλκμ. 26 (Bergk).

ἀβάπτιστος 2 ὁ οὐ βαπτιζόμενος, οὐ βυθιζόμενος εἰς τὸ ὕδωρ. ἅτε γὰρ ἐννάλιον πόνον ἐχοίσας βαθὺν (Bergk:

βαθὺ) σκευᾶς ἑτέρας, ἀβάπτιστός εἰμι, φελλὸς ὡς ὑπὲρ ἕρκος, ἅλμας Πίνδ. Π. 2,79 ἐν ᾧ ἐν τῷ βάθει τῆς θαλάσσης ἡ ἄλλη συσκευὴ τῶν δικτύων ἔχει ἐργασίαν, (ἐγὼ) δὲν βυθίζομαι ὑπὸ τῆς θαλάσσης, ὡς φελλὸς ὑπὲρ τὸ δίκτυον. Ἀντὶ τοῦ ἅτε προέτεινεν ἅέ ὁ Bergk. σώματος ἀβαπτίστου Πλουτ. σ. 686 B νηφαλίου, οὐ βαπτιζομένου τῇ μέθῃ (τῷ οἴνῳ). || ἀβάπτιστον τρύπανον Γαλην. χειρουργικὸν ἐργαλεῖον, ὅπερ ἐμποδιζόμενον ὑπὸ φυλακτῆρος δὲν βυθίζεται ὁλόκληρον.

ἀβάσκαντος 2 ὃν οὐδεὶς βασκαίνει, φθονεῖ. ἀσπάζου Θέωνα καὶ Νικόβουλον τοὺς ἀβασκάντους Πάπυρ. «ποῦ νὰ μὴ βασκανθοῦν». Ὅθεν τὸ ἀβάσκαντον, φάρμακον προφυλάττον ἀπὸ τὸν φθόνον Διοσκ. 3, 105.— Ἐπίρρ. ἀβασκάντως ἐκτὸς βασκανίας, φθόνου· καὶ γὰρ ἀβασκάντως ῥῖνα τρίπηχυν ἔχεις Ἀνθολ. 11, 267 «ποῦ νὰ μὴ βασκαθῇς».

ἄβατος 2 καὶ **ἀβάτη** ἐν Πίνδ. Ν. 3, 36. ἀπάτητος, ἀπροσπέλαστος. ἄβατος ἐρημία Αἰσχ. Πρ. 2. αἰθέρος εἰς ἄβατον φῶς Εὐρ.Φοίν. 817 μέχρι τοῦ ἀπροσπελάστου φωτὸς τοῦ αἰθέρος.Ἴων 86. || ἀδιάβατος, ἰδ.περὶ ὀρέων, ὡς Ἡρ. 4, 25. Ξεν. συχν., καὶ περὶ ποταμῶν, οὓς δὲν δύναταί τις νὰ περάσῃ Ξεν. Ἀν. 5, 6, 9. Πλ. Νόμ. 892Ε. || ἀπρόσιτος· τὸ πόρσω (τ. ἔ. τὸ πέραν τῶν Ἡρακλείων κιόνων) δ' ἔστι σοφοῖς ἄβατον κἀσόφοις Πίνδ. Ὀ. 3, 44. Ἰσοκρ. 3, 33. || περὶ ἱεροῦ τόπου, ὃν δὲν πρέπει τις νὰ πατήσῃ· ἀβάτων ἀποβὰς Σοφ. Ο. Κ. 167. τὰν ἄβατον (ἀπρόσιτον, ἄθικτον) θεοῦ (Βάκχου) φυλλάδα αὐτ. 675. δεινὸς γὰρ ἕρπειν πλοῦτος ἔς τε τἄβατα καὶ πρὸς τὰ βατὰ Σοφ. Ἀπ. 85 ὁ πλ. ἔχει τὴν δύναμιν νὰ εἰσχωρῇ καὶ πρὸς τὰ ἄβατα κτλ. ἴθ' ἀλλὰ Βρόμιος ἵνα τε σηκὸς ἄβατος ὄρεσι Μαινάδων Εὐρ. Φοίν. 1751 πήγαινε τοὐλάχιστον ἐκεῖ ὅπου, εἰς τὰ ὄρη τῶν Μαινάδων, εἶνε ὁ ἀπροσπέλαστος (τοῖς βεβήλοις) Βακχικὸς ναός· αἰτῶ δὲ Κάδμον ἄβατον ὃς πέδον τόδε τίθησι θυγατρὸς σηκὸν Βάκ. 10 ὃς πέδον τόδε, θυγ. σηκόν, ποιεῖ ἄβατον (ἀπροσπέλαστον τοῖς βεβήλοις). **ἀβατώτατος ὁ τόπος** (τ. ἔ. οἱ τάφοι) Ἀριστ. 924a 5. || μετὰ λογοπαιγνίου· αἵ τῶν ἑταιρῶν γὰρ διοπετεῖς οἰκίαι γεγόνασιν ἄβατοι τοῖς ἔχουσι μηδὲ ἓν Ἀριστοφῶν ἐν Στοβ. Ἀνθ. 6,27 εἰς τοὺς πτωχοὺς εἶνε ἀπρόσιτοι αἱ οἰκίαι τῶν ἑταιρῶν, διότι εἶνε κεραυνόπληκτοι (ἄβατα δὲ τὰ κεραυνόπληκτα, ἴδ. κατωτ.). ἀβάτους ποιεῖν τὰς τραπέζας οἴομαι αὐτὸν κατασκήπτοντά γ' αὐταῖς τῇ γνάθῳ Ἀνάξιππος ἐν Κεραυν. 3,5 (Ἀθήν. σ. 417 Α) ἐπειδὴ ἐπισκήπτει διὰ τῆς γνάθου κατὰ τῶν τραπεζῶν ὡς κεραυνός, ποιεῖ τὰς τραπέζας ἀβάτους, διότι τὰ χωρία, καθ' ὧν ἐπέσκηπτε κεραυνός, ἦσαν ἄβατα καὶ ἐθεωροῦντο ἱερὰ (πρβ. Εὐρ. Βακχ. 10. Πλουτ. Πύρρ. 29: τὰ βαλλόμενα τοῖς κεραυνοῖς ἀνέμβατα μένει χωρία). Ἐν τούτῳ λοιπὸν τὸ ἀστεῖον. || ἄθικτος, καθαρός, ἁγνός Πλ. Φαῖδρ. 255 Α. || ἐνεργ. Λουκ. Ὠκυπ. 36 ἄβατος πόνος, ὁ βαίνειν οὐκ ἐῶν (ἡ ποδάγρα).

ἀβελτεροκόκκυξ -υγος ὁ «ἀβέλτερος καὶ κενός» Α. Β. 27. ἀνόητος (σὰν) κοῦκκος.

ἀβέλτερος 3 μωρός, εὐήθης, ἠλίθιος Ἀριστοφ. Πλάτ. Δημ. κλπ. ἀβελτέραν ἕξιν Πλ. Φίλ. 48C = ἀβελτερίαν. ἅπαντές ἐσμεν πρὸς τὰ θεῖ' ἀβέλτεροι Ἀπ. Ἀναξανδρ. 21 (= Τόμ. II σελ. 143 Kock). μηδὲν ὑμεῖς ἀβέλτερον πάθητε Δημ. 19, 534 κυττάξετε νὰ μὴ κάμητε καμμίαν ἀνοησίαν. Ὑπερθ. ἀβελτερώτατος Ἀρ. Βατρ. 989. Δημ. 9, 14.

ἀβελτηρία Π(λημμελὴς) Γ(ραφὴ) ἀντὶ τοῦ ἀβελτερία· διότι ἀβέλτερος εἶνε τὸ ἐπίθ. ὄχι ἀβέλτηρος. Ὁμοίως ἀβελτήριον Π. Γ. ἀντὶ τοῦ ἀβελτέριον.

ἄβιος 2 μεθ' ὃν (ἢ μεθ' ὃ ἢ μεθ' ἣν ἀναφ. εἰς τὸ οὐσ. τοῦ ἄβιος) δὲν δύναταί τις νὰ ζήσῃ, ἀνυπόφορος· αἰσχύνη ἄπορος καὶ ἄβιος Πλ. Νόμ. 873 C. βίος ἄβιος Ἀνθ. 7, 715. || ὁ οὐκ ἔχων τὰ πρὸς τὸ ζῆν, ἄπορος, πένης, μετὰ τοῦ ἄκληρος Λουκ. Ν. Διάλ. 15, 3. Κατὰ τὸν Ἁρποκρατ. τὸ ἄβιον ἔταξεν ὁ Ἀντιφῶν ἀντὶ τοῦ πολὺν βίον κεκτημένου. Ἐν Ν 6 τὸ Ἀβίων εἶνε κύρ. ὄνομα, κατ' ἄλλους ἐπίθ. ἄποροι, ἄνευ βίου: μὴ βίαιοι: ἄτοξοι ἴδ. Ἀ. Β. 326.

ἀβίοτος ποι. = ἀβίωτος· κατακονὰ ἀβίοτος βίου Εὐρ. Ἱππ. 821 ἀβίωτον τὸν βίον ποιοῦσα. Ἀνθ. 9, 574.

ἀβίωτος 2 ὃν δὲν δύναταί τις νὰ ζήσῃ, ἀνυπόφορος· ὁ βίος ἀβίωτος γίγνοιτ' ἂν Πλ. Πολιτικ. 299 Ε. πρβ. ἀβίωτον ᾤετ' ἔσεσθαι τὸν βίον αὐτῷ Δημ. 21, 131 ἐνόμιζεν ὅτι ὁ βίος θὰ τοῦ εἶνε ἀνυπόφορος (δὲν θ' ἀξίζῃ νὰ ζῇ). ἀβίωτα γὰρ ἦν μοι σοῦ ἀποθανόντος Λουκ. Ν. Διάλ. 13. Ἀρ. Πλ. 969 καὶ συχν. παρὰ κωμ. καὶ ῥήτορσιν. Καὶ κατὰ σύστοιχον σύντ. ἀβίωτον ζῶμεν βίον Ἀπ. Φιλήμ. 93. Αἰσχ. 1, 183. Δημ. 24, 141. ἀβίωτον τὸν ἔπειτα χρόνον βιοτεύσει Εὐρ. Ἄλκ. 241 θὰ ζήσῃ ἀβ. βίον κατὰ τὸν ἐπ. χρόνον. — τοῖς δὲ κακοῖς ταπεινός τε καὶ ἀβίωτος ὁ αἰὼν ἐπανακείσεται Ξεν. Κ. Π. 3, 3, 52 εἰς δὲ τοὺς κακοὺς θὰ ἐπιφυλάττηται (ἐπικρέμαται, ἐπαπειλῆται) ταπ. καὶ ἀβ. ὁ χρόνος τῆς ζωῆς.— ἀβίωτόν ἐστιν Πλ. Μενέξ. 246 D δὲν δύναταί τις νὰ ζήσῃ. ἀναπτύξω δέ σοι ἀβίωτον ἡμῖν ὂν Εὐρ. Ἡρ. Μ. 1257 ὅτι δὲν ἐμποροῦμεν νὰ ζήσωμεν, ὅτι ὁ βίος εἶνε ἀνυπόφορος. ἃς (ξυμφορὰς) ἀβίωτον ζῆν κεκτημένῳ Πλ. Νόμ. 926 Β τ. ἔ. τῷ κεκτημένῳ τὰς ξυμφορὰς ταύτας τὸ ζῆν (ἐστὶν) ἀβίωτον. —Ἐπίρρ. ἀβιώτως διετέθησαν ὑπὸ λύπης Πλουτ. Σόλ. 7 ἐβαρέθησαν τὴν ζωὴν των ἀπὸ λύπην. νοσῶν ἔδοξεν ὁ Διονύσιος ἀβιώτως ἔχειν Πλουτ. Δίων. 6 ὅτι δὲν εἶνε γιὰ ζωή.

ἀβλαβής 2 (βλάβη) ὁ οὐ βεβλαμμένος, ἀκέραιος Πίνδ. Π. 8,54 Αἰσχ. Ἑπτ. 68. ὧδε ζῶσαν ἀβλαβεῖ βίῳ Σοφ. Ἠλ. 650, ὅπου τὸ ἀβλ. βίῳ εἶνε ἐπεξήγησις εἰς τὸ ὧδε. Συχν. πεζ. || ὁ οὐ βλάπτων, ἀθῷος (ξυνουσία

Αἰσχ. Εὐμ. 285). ἀβλαβές τε καὶ ὠφέλιμον Πλ. Φίλ. 63. σπονδαὶ ἄδολοι καὶ ἀβλαβεῖς ἄνευ δόλου καὶ βλάβης Θουκ. 5,18.47. || προλαμβάνων (ἀπομακρύνων) τὴν βλάβην. ἄλεσσιν μεμιγμένον.. ἀβλαβὲς ὕδωρ Θεόκρ. 24,97. βατὸς ὄλβος ἀβλαβὴς βροτοῖς Ἀπ. Εὐρ. 825. ἣν γάρ καί τι δάκῃς, τὸ μὲν ἀβλαβὲς εὐθὺς ἔθηκας Θεόκρ. 12,25 καὶ ἂν με βλάψῃς τι, εὐθύς με ἱκανοποιεῖς. Ἀμφοτέρας τὰς σημ. ἔχει π. Πλάτ. Νόμ. 953 B: ἀβλαβεῖς τοῦ δρᾶσαί τε καὶ παθεῖν χωρὶς νὰ προξενήσωσι καὶ πάθωσι βλάβην.

ἀβλεμής 2 (πρβ. βλεμεαίνω) ἀδύνατος, ἀδρανής. Νίκ. ἀλ. 82. ἀβλεμὲς προσπίπτει Λογγῖν. π. ὕψ. 29 καταντᾷ νὰ μὴ ἔχῃ δύναμιν. — Ἐπίρρ. ἀβλεμέως πίνων = ἀκρατῶς Πανύασ. π. Ἀθήν. 36 Δ. («ἀφροντίστως» Σουΐδας).

ἀβλής-ῆτος ὁ καὶ ἡ, ὁ οὔπω βεβλημένος· ἐκ δ' ἕλετ' ἰὸν ἀβλῆτα Δ. 117 ἀμεταχείριστον, καὶ Ἀπολλ. Ῥ. 3,279.

ἄβλητος 2 οὐ βεβλημένος (βέλει), ἀντιπαρατίθ. ἀνούτατος· ὅστις ἔτ' ἄβλητος καὶ ἀνούτατος ὀξέϊ χαλκῷ Δ. 540 ἀκτύπητος μακρόθεν (διὰ βέλους) καὶ ἀπλήγωτος ἐκ τοῦ πλησίον δι' ὀξέος χαλκοῦ. «ἄβλητα βέλη τὰ μὴ πεμφθέντα εἰς τρῶσιν» Σουΐδας καθ' Ἡσ.

ἀβοήθητος 2 ἐστερημένος βοηθείας, ἀβ. ἕλκος Πολύβ. 1,81 ἀνίατον. ἀβ. πληγαὶ 16,4. — Ἐπίρρ. τελευτῶσιν ἐξαιματοῦντες ἀβοηθήτως Διοσκ. π. ἰοβ. ιβ' χωρὶς νὰ δύναταί τις νὰ τοὺς βοηθήσῃ.

ἀβοητί, δωρ. ἀβοατί, ἄνευ βοῆς, ἄνευ προσκλήσεως, αὐτόκλητος Πίνδ. Ν. 8.9.

ἀβολέω (κατὰ τὸ ἀντιβολέω), ἀβολήσω, ἀβόλησα· ἀβολήσομεν («συντευξόμεθα» Σχ.) ἐνθάδ' ἰόντες Ἀπολλ. Ῥ. 3,145. — ἀβ. τινί, 2,770. — ἀβάλε μηδ' ἀβόλησαν Ἀπ. Καλλιμ. 455 εἴθε νὰ μὴ συνήντων (ἐμὲ τὴν Μήδειαν οἱ Ἀργοναῦται)· καὶ ἀβ. τινὸς Ὀρφ. Ἀργ. 472 ἐξ εἰκασ. Ἑρμάννου.

ἄβολος 2 ὅστις (κυρ. ἵππος, ὄνος, ἡμίονος) δὲν ἤλλαξεν (δὲν ἀπέβαλεν) ἀκόμη τοὺς πρώτους ὀδόντας τοὺς βαλλομένους. Ὁ ὀδούς, ἐξ οὗ γνωρίζεται ἡ ἡλικία, ὀνομάζεται γνώμων, ὁ αὐτὸς δὲ καὶ βαλλόμενος. Λιπογνώμονες δὲ οἱ ἀπογεγηρακότες ἵπποι, ὡς ἀπολελοιπότες τὸν γνώμονα (πρβ. Ἀ. Β. 322). — ἄβ. πῶλος Πλ. Νόμ. 834 C. Στράτ. π. Πολυδ. 10,55. ἄβ. ἵππος καὶ ἡμίονος Ἀριστοτ 576b 15. «ἄβολον κτῆνος τὸ μὴ ἀποβεβληκὸς τοὺς ὀδόντας, δι' ὧν γνωρίζεται ἡ ἡλικία» Ἀ. Β. 20.

ἀβός δωρ. = ἡβός, ἡβῶν, ἀκμαῖος, ὥριμος· μή μευ λωβάσησθε τὰς ἀμπέλους· ἐντὶ γὰρ ἀβαὶ Θεόκρ. 5,109. Ἧττον ὀρθὸν τὸ ἄβος.

ἀβουκόλητος 2 ὃν οὐ φυλάττει (κυρ. οὐ βουκολεῖ) τις, περὶ οὗ δὲν φροντίζει τις· ἀβουκόλητον τοῦτ' ἐμῷ φρονήματι Αἰσχ. Ἱκ. 930 τοῦτο εἶνε ἀδιάφορον εἰς ἐμὲ (εἰς τὸ ἐμὸν φρόνημα).

ἀβουλέω (ἄβουλος) οὐ βούλομαι, δὲν θέλω. Πλ. Πολ. 437c μετὰ τοῦ μὴ ἐθέλειν· μετ' ἀπαρεμφ. Πλ. Ἐπ. 7,347 A. Δημ. Ἐπ. 2. οὐδ' ὑμᾶς ἐνόμιζον ἀβουλεῖν με ἔξω προπηλακισμοῦ γενέσθαι Δημ. 1471,19 ἐνόμιζον ὅτι καὶ ὑμεῖς ἠθέλατε νὰ εἶμαι ἐκτὸς προπηλακισμοῦ, νὰ μὴ προπηλακισθῶ. μτγν.

ἀβουλία ἡ, ἔλλειψις βουλῆς, κακὴ σκέψις· ἐξ ἀβουλίας (ἀβουλίᾳ) πεσεῖν Σοφ. Ἠλ. 398. 429 «διὰ κακοβουλίαν» Σχ. ἀντίθ. εὐβουλία, σωφροσύνη. ἐπαρθέντες ἀβουλίῃ Ἡρ. 7, 9 παρασυρθέντες ἐξ ἀπερισκεψίας. Καὶ πληθ. ἀπολέεται ἡ Ἑλλὰς ἀβουλίῃσι Ἡρ. 8,57 ἐξ ἀπερισκεψιῶν. κρατηθεὶς ἐκ φίλων ἀβουλιᾶν Αἰσχ. Ἑπτ. 750 «ὑπὸ τῶν αὐτῷ φίλων ἡδονῶν» Σχ.

ἄβουλος 2 (βουλή), ὁ ἄνευ βουλῆς, ἀπερίσκεπτος, κακῶς βουλευόμενος· ἀντίθ. εὔβουλος. Σοφ. Ἀντ. 1026. τί τὴν ἄβουλον στάσιν γλώσσης ἐπήρασθε; Ο. Τ. 634 τί ἐσηκώσατε (ἠγείρατε) τὴν ἀπερίσκεπτον ταύτην λογομαχίαν; Συγκρ. ἀβουλότερος Θουκ. 1, 120. || ἐνεργ. τίς ὧδε τέκνοισι Ζῆν' ἄβουλον εἶδεν; Σοφ. Τρ. 140 ἔχοντα τόσον ὀλίγην πρόνοιαν διὰ τὰ τέκνα του; — οὐκ ἀβούλως ἀλλὰ πόρρωθεν κατεσκευασμένα Φερεκράτ. π. Ἀθήν. 481 B (ἴδ. πόρρωθεν). Ἀλλ' ἐν Ἀντιφῶν. 1, 13 ἀβούλως τε καὶ ἀθέως διαχρήσασθαί τινα σημ. κακοβούλως.

ἀβροβάτης ὁ ἁβρὰ (ἁβρῶς) βαίνων, ὁ μαλθακῶς (ὡς αἱ γυναῖκες) περιπατῶν Αἰσχ. Πέρσ. 1073. Πρβ. ἁβρῶς βαίνειν Εὐρ. Μήδ. 830 καὶ ἁβρὸν βαίνειν 1164. ἁβροβάταν κέλευσεν ἅπτειν ξύλινον δόμον Βακχυλ. 3, 48 ἐνν. εὐνοῦχόν τινα παῖδα ἁβρὸν βαίνοντα· πρβ. Εὐρ. Τρ. 820.

ἀβρόγοος 2 ὁ ἁβρῶς (μαλθακῶς) γοώμενος, θρηνῶν· αἱ δ' ἁβρόγοοι Περσίδες Αἰσχ. Πέρσ. 544 «αἱ ἐντρυφῶσαι τοῖς δάκρυσι (γόοις)» Σχ. Μᾶλλον γρ. ἁβρογόος.

ἀβρόδαις -δαιτος ὁ, ἡ, ἁβρὰν δαῖτα ἔχων· πρὸς δὲ μιᾷ πάντας δειπνεῖν ἁβρόδαιτι (πολυτελεῖ) τραπέζῃ Ἀρχεστρ. ἐν Ἀθήν. 4 E.

ἀβροδίαιτα, ἡ (πληθ. σύνθ. ἀντὶ) ἁβρὰ δίαιτα· «τρυφερὰ ζωὴ καὶ ἁπαλή» Ἀ. Β. 322. Αἰλ. Π. Ἱ. 12, 24.

ἀβροδιαιτάομαι πληθ. σύνθ. = ἁβρῶς διαιτῶμαι Σχολ. Ἀρ. Εἰρ. 1193, ὅπου ὁ Βέκκ. γρ. ἁβρῶς διαιτωμένους

ἀβροδίαιτος 2 ἁβρῶς διαιτώμενος, ζῶν μαλθακῶς· ἁβροδιαίτων Λυδῶν ὄχλος Αἰσχ. Πέρσ. 42· διὰ τὸ ἁβροδίαιτον Θουκ. 1, 6 διὰ τὴν μαλθακὴν δίαιταν.

ἄβρομος 2 (βρέμω) ὁ μέγαν βρόμον, κρότον, ποιῶν. Ἕκτορι Πριαμίδῃ ἅμοτον μεμαῶτες ἕποντο, ἄβρομοι, αὐίαχοι Ὁμ. Ν 41 πολὺ θορυβοῦντες, μεγαλοφώνως κραυγάζοντες. ἄβρομον κῦμα Ἀπολλ. Ῥ. 4 153 ἀθόρυβον (Ἄλλοι = βρέμον).

ἀβροπάρθενος, ἀβροπαρθένους (= ἐξ ἁβρῶν παρθένων) εὐιώτας χοροὺς ἄγνωστος λυρ. ποι. ἐν Ἀριστοξ. Ῥυθ. στοιχ. Ι. σ. 15 (The Oxyrrhynchos Papyri).

ἁβρόπηνος 2 ὁ ἁβρὰν **πήνην** ἔχων, ὁ λεπτὴν ὑφὴν (στήμονα ἔχων, λεπτοΰφαντος. ἁβροπήνους πέπλους Λυκόφ. 863, ἐξ οὗ μετεγράφη τὸ παρ' Αἰσχ. 'Αγ. 695 ἁβροτίμων (ὃ ἴδε) εἰς ἁβροπήνων ἐν οὐ δέοντι.

ἁβρόπλουτος 2 ἁβρῶς πλούσιος. χαίτας ἁβροπλούτοιο εἰς ἔριν ὀρνυμένα Εὐρ. Ι. Τ. 1149 ὅτε ἠγειρόμην εἰς ἅμιλλαν (περὶ) κόμης χρυσῷ κόσμῳ ἀναδεδεμένης.

ἁβρόπους 2 ὁ ἔχων ἁβροὺς πόδας· Λεσβίδες ἁβροπόδων βῆμαθ' ἑλισσόμεναι 'Ανθ. 9, 189, ὅπου ὀρθῶς νῦν γράφ. ἁβρὰ ποδῶν τ. ἕ. στρέφουσαι τὰ ἁβρὰ τῶν ποδῶν βήματα.

ἐλπίς -ίδος ἡ, προσδοκία μελλόντων πραγμάτων. Σύνταξις: ἐλπίς τινος, εἴς τι, ἔν τινι, πρός τινα, παρά τινος, ἀπό τινος.—ἁβρότατος ἔπι μεγάλας ἐξ ἐλπίδος πέταται Πίνδ. Π. 8, 90 ἴδ. ἁβρότης. δόξας μελλόντων (τιθῶμεν), οἷν κοινὸν ὄνομα ἐλπίς Πλάτ. Νόμ. 644 C ἰδέας (παραστάσεις) περὶ τῶν μελλόντων, εἰς τὰς ὁποίας κοινὸν ὄνομα εἶνε ἐλπίς. κεἴπερ τάδ' ἐστί, πλῆθος ἔκκριτον στρατοῦ λείπει, κεναῖσιν ἐλπίσιν πεπεισμένος Αἰσχ. Πέρσ. 805 καὶ ἐὰν ταῦτα ἔχουσιν οὕτως, ἀπολείπει (ἀπέλιπεν) ἐκλεκτὸν πλῆθος στρατοῦ. τυφλὰς ἐν αὐτοῖς ἐλπίδας κατῴκισα Πρ. 266 ἐνέβαλον (ἐγκαθίδρυσα) ἐν αὐτοῖς ἐλπίδας ἀπληρώτους. πολλῶν ῥαγεισῶν ἐλπίδων μιᾶς τυχών Ἀγ. 510 μιᾶς ἐλπίδος τυχὼν ἀρραγοῦς (ἀβλαβοῦς, ἀθραύστου), πολλῶν διαρραγεισῶν: «ἐκ μεταφορᾶς τῶν ἀγκυρῶν, ὧν πολλῶν

ῥαγεισῶν εἰς τὸ ὕδωρ μία τις περισῴζει τὴν ναῦν» Σχ. ἐλπίς ἐστι, ἐν ἐλπίδι εἶναι, γίγνεσθαι, ἐλπίδα ἔχειν συντ. αἰτ. μετ' ἀπρφ. συνήθ. μέλλ., ἀλλὰ καὶ μετ' ἀορ. Πινδ. Π. 3. ἤδη γὰρ ἔσχες ἐλπίδ', ὡς ἐμοῦ θεοὺς ὤραν τιν' ἕξειν; Σοφ. Ο. Κ. 385 ἤδη ἔσχες ἐλπίδα (τινά), ὅτι οἱ θεοὶ θὰ λάβωσι φροντίδα τινὰ περὶ ἐμοῦ. ὑπόπτερος δ' ὁ πλοῦτος· οἷς γὰρ ἦν ποτε, ἐξ ἐλπίδων πίπτοντας ὑπτίους ὁρῶ 'Απ. Εὐρ. 420 ὁ Πλ. εἶνε πτερωτὸς (καὶ φεύγει)· διότι ἐκείνους, οἱ ὁποῖοι τὸν εἶχον μίαν φοράν, τοὺς βλέπω πίπτοντας ὑπτίους, διότι ἐλπίζουν νὰ τὸν ἴδουν πάλιν καταβαίνοντα πρὸς αὐτούς. ἐξ ὀλβίων Herw. Οὐδεμιᾶς διορθ. χρεία. καὶ οὐκ ἐξ ἐκείνων ὡς ἁμαρτησομένων ἔχειν δεῖ τὰς ἐλπίδας, ἀλλ' ὡς ἡμῶν αὐτῶν ἀσφαλῶς προνοουμένων Θουκ. 1, 84 καὶ δὲν πρέπει νὰ ἔχωμεν τὰς ἐλπίδας ἡμῶν εἰς τὰ μέλλοντα σφάλματα ἐκείνων, ἀλλ' εἰς τὴν ἀσφαλῆ πρόνοιαν ἡμῶν αὐτῶν. — τὴν δ' ἐλπίδ' οὐ χρὴ τῆς τύχης κρίνειν πάρος Σοφ. Τρ. 724 πρὸ τῆς ἐκβάσεως (τῶν δεινῶν ἔργων) δὲν πρέπει ν' ἀποφασίζῃ ἡ ἀπαισιοδοξία. ἃ καὶ σὲ ἐλπίσιν λέγω τάδ' αἰὲν ἴσχειν 137 τὰ ὁποῖα καὶ σὺ ἡ βασίλισσα πρέπει πάντοτε νὰ ἐλπίζῃς καὶ νὰ περιμένῃς. Καὶ ἄλλ. ἐπὶ μεγίστῃ ἐλπίδι τῶν μελλόντων Θουκ. 6,31 ἴδ. ἐπιχειρῶ. αἱ ὑμέτεραι ἐλπίδες 1, 69 αἱ ἐν ὑμῖν ἐλπίδες: αἱ εἰς ὑμᾶς στηριζόμεναι ἐλπίδες. σοφόν τι τὸ μηχανόεν τέχνας ὑπὲρ ἐλπίδ' ἔχων, ποτὲ μὲν κακὸν ἄλλοτ' ἐπ' ἐσθλὸν ἕρπει Σοφ. 'Αντ. 365 ὑπὲρ (πᾶσαν) ἐλπίδα ἔχων σοφήν τινα τὴν περὶ τὰς τέχνας ἐπινοητικότητα («τὸ μηχανικὸν τῆς ἐπιτεχνήσεως» Σχ.), φέρεται ἄλλοτε μὲν πρὸς τὸ κακὸν ἄλλοτε δὲ πρὸς τὸ ἀγαθόν. θεὸς ἅπαν ἐπὶ ἐλπίδεσσι τέκμαρ ἀνύεται Πίνδ. Π. 2, 49 ὁ θεὸς πάντα σκοπὸν αὑτοῦ ἐκτελεῖ κατ' εὐχήν, ὡς ἐπιθυμεῖ· «θεὸς ὅ τι ἂν διανοηθείη, τοῦτο καὶ ἀνύει». — τάδε μὲν ἔχομεν ὁρᾶν δόμοις, τάδε δὲ μέλλομεν ἐπ' ἐλπίσιν Σοφ. Τρ. 951 ταῦτα μὲν (τὰ κακὰ) ἔχομεν νὰ βλέπωμεν, ταῦτα δὲ (τὰ ἄλλα) ἀναμένομεν ἐν ἀγωνίᾳ (κυρ. ἐλπίζουσαι, ἐπὶ κακοῦ). ὡς πιστόν μοι τὸ παλαιὸν ἤδη λέχος, ὦ Ζεῦ, τὸ σὸν οὐκ ἐπ' ἐλπίδι φάνθη Εὐρ. 'Ηρ. Μ. 804 πόσον πιστὴ ἤδη ἐκ παλαιοῦ χρόνου ἀπεδείχθη ἀπροσδοκήτως εἰς ἐμὲ ἡ σὴ σύζευξις, ὦ Ζεῦ. τῷ δ' ἐναντίῳ κύτει ἐλπὶς προσῄει (προσείει Margoliouth) χειρὸς οὐ πληρουμένῳ Αἰσχ. 'Αγ. 807 (ἴδ. πληρόω). ὑπὲρ τῆς ἐν βραχείᾳ ἐλπίδι οὔσης κινδυνεύοντες Θουκ. 1, 74 ὑπὲρ ταύτης, ἧς ἡ διάρκεια καὶ σωτηρία ἐστηρίζετο ἐπὶ ἀσθενοῦς ἐλπίδος τῆς ἐν ταῖς ναυσίν. ἐκτὸς ἐλπίδος γνώμης τ' ἐμῆς σωθείς Σοφ. 'Αντ. 330 παρ' ἐλπίδα καὶ παρὰ τὴν ἰδέαν μου (παρὰ προσδοκίαν μου) σωθείς. τῷ παρ' ἐλπίδα μὴ χαλεπῶς σφαλλέσθω Θουκ. 4, 62 ἴδ. σφάλλω. οὐ γὰρ ἐλπίδων εἴσω βέβηκα Εὐρ. 'Ελ. 1523 διότι δὲν ἐμπορεῖ νὰ τὸ χωρέσῃ ὁ νοῦς μου, ὅτι. — ἐλπὶς πολλὴ τὸ γένος ἡμῶν τοῦτο ἀναίσθητον πάσαις ταῖς τοῦ σώματος αἰσθήσεσι περιπεφυκέναι, νοητὸν δ' εἶναι νῷ μόνῳ Πλ. Νόμ. 898 Ε πολλὴ πιθανότης ὑπάρχει, ὅτι τὸ γένος τοῦτο ἔχει ἐκ φύσεως δημιουργηθῇ πέριξ ἡμῶν, ὥστε νὰ εἶνε ἀπρόσιτον εἰς πάσας τὰς αἰσθήσεις τοῦ σώματος, νοητὸν δὲ διὰ τοῦ νοῦ μόνου. τὸ ἁλῶναι καὶ ἀποφυγεῖν ἀμφοτέρας τὰς διώξεις ἐν ἴσαις ἐλπίσι θῶμεν αὐτῷ εἶναι 'Αντιφ. 1 γ 6 ἂς ὑποθέσωμεν ὅτι αἱ ἐλπίδες καὶ οἱ κίνδυνοι τῆς καταδίκης καὶ τῆς ἀθῳώσεως καὶ εἰς τὰς δύο ὑποθέσεις εἶνε ἴσαι. προσῆλθεν ἐλπίς, ἣν φοβουμένη πάλαι τὸ μέλλον ἐξετηκόμην γόοις Εὐρ. 'Ορ. 859 ἐξεπληρώθη τὸ ὑπ' ἐμοῦ προσδοκώμενον («ὅ τι ἐπερίμενα»), ὅπερ, φοβουμένη ἀπὸ πολλοῦ χρόνου τὸ μέλλον, ἐθρήνουν ἀπαρηγόρητος. τὴν ἐλπίδα τοῦ φόβου ὁμοίαν ταῖς ξυμφοραῖς ἔχουσι Θουκ. 7, 61 ἐκ τοῦ φόβου των προσδοκῶσιν ὅτι τὰ μέλλοντα θὰ εἶνε ὅμοια μὲ τὰ (προηγούμενα) δυστυχήματά των. Παροιμ. ἀεὶ πεινῶμεν ἐπὶ ταῖς ἐλπίσιν 'Απ. 'Αντιφάν. 123 (Στοβ. 'Ανθ. 61, 2) πάντοτε πεινῶμεν χωρὶς νὰ ἀπελπιζώμεθα: πάντοτε πεινῶμεν καὶ ποτὲ δὲν μᾶς ἐγκαταλείπουν αἱ ἐλπίδες. (ἐν 'Αθήναις) ῥᾶστ' ἀεὶ πεινῶσι Κεκροπιδῶν κόροι, κάπτοντες αὔρας, ἐλπίδας σιτούμενοι 'Απ. Εὐβούλ. 10 ('Αθήν. 47 Β) ἐν ᾧ «χάφτουν ἀέρα καὶ τρώγουν ἐλπίδας»· τὸ δὲ ῥᾶστα ἐξηγητέον κατὰ τὸ θεοὶ ῥεῖα ζώοντες. δακρυτὸς ἐλπὶς σπέρματος σωτηρίου Αἰσχ. Χο. 236 πολυπόθητος ἐλπὶς τῆς σωτηρίας τοῦ γένους ἡμῶν. μηκέτι παραγάγῃς (μ'), ἵν' οὐ — πάρεισιν ἐλπίδων ἔτι κοινοτόκων εὐπατριδᾶν τ' ἀρωγαί Σοφ. 'Ηλ. 858 μή με παρασύρῃς ἐκεῖ, ὅπου δὲν ὑπάρχουσι πλέον βοήθειαι ἐξ ἐλπίδων, στηριζομένων εἰς ἀδελφοὺς ἐκ κοινῶν γονέων καταγομένους καὶ διασῴζοντας ἔτι τὴν πατρικὴν εὐγένειαν.

ἔλπω: οὐδ' ἐμὲ νήιδά γ' οὕτως ἔλπομαι γενέσθαι Η 199 πιστεύω ὅτι καὶ ἐγὼ δὲν ἐγεννήθην τόσον ἀδαής. Περὶ τῆς συντάξ. ἴδ. ἐλπίζω. ἀλλὰ καὶ αὐτὸς ὅγ', ἔλπομ', ἐνὶ πρώτοισιν ὁμιλεῖ Σ 194 ἀλλὰ καὶ αὐτὸς οὗτος, στοχάζομαι, μεταξὺ τῶν πρώτων ἀναστρέφεται. ἤδη γὰρ νῦν ἔλπομ' Ἄρηΐ γε πῆμα τετύχθαι Ο 110 πιστεύω, ὅτι ἔχει γίνῃ κακὸν εἰς τὸν Ἄρην. ἐγὼ δὲ πλέον' ἔλπομαι λόγον 'Οδυσσέος ἢ πάθεν διὰ τὸν ἁδυεπῆ γενέσθ' Ὅμηρον Πίνδ. Ν. 7, 20 ἐγὼ δὲ πιστεύω, ὅτι ἔγινε πλειότερος λόγος περὶ τοῦ 'Οδυσσέως ἀναλόγως πρὸς ὅσα πράγματι ἔπαθεν ἐξ αἰτίας τοῦ ἡδυφώνου 'Ομήρου. ἔλπεαι... ἑὴν θήσεσθαι ἄκοιτιν (ξεῖνον) φ 314 φοβεῖσαι (φαντάζεσαι) ὅτι θὰ κάμῃ σύζυγόν του ὁ ξένος. ἐλπόμενός τί οἱ κακὸν εἶναι 'Ηρ. 9, 113 φοβούμενος, ὑποπτεύων, ὅτι τοῦ συμβαίνει κακόν τι. οὐκ ἂν ἐμοί γε ἐλπομένῳ τὰ γένοιτο γ 228 κυρ. δὲν ἐμποροῦν νὰ γίνουν ταῦτα εἰς ἐμὲ ἐλπίζοντα τ. ἔ. δὲν ἐμπορῶ νὰ ἐλπίζω, ὅτι θὰ γίνουν ταῦτα: οὐκ ἐλπίζω ταῦτα γενήσεσθαι.

ἔλσαι, ἔλσας ἴδ. εἴλω.

ἐλύω, 'Αττ. ἐλύω, κυλίω· προπάροιθε ποδῶν 'Αχιλῆος ἐλυσθείς Ω 510 κυλισθείς. ὑπὸ γαστέρ' ἐλυσθείς ι 433 ὑπὸ τὴν κοιλίαν συμμαζευθείς. τοῖος γὰρ φιλότητος ἔρως ὑπὸ καρδίαν ἐλυσθεὶς πολλὴν κατ' ἀχλὺν ὀμμάτων ἔχευε 'Απ. 'Αρχιλ. 103 τοιαύτη ἐπιθυμία φιλότητος ὑπεισελθοῦσα εἰς τὴν καρδίαν των, ἔχυσεν ἐπάνω εἰς τοὺς ὀφθαλμούς των πυκνὸν σκότος.

ἕλχ' = ἕλκε.

ἔλων (ἔλαον) ἴδ. ἐλαύνω.

ἔλωρ -ωρος τό (ἑλεῖν) ἅρπαγμα, ἄγρα, λεία, κυρ. πιάσιμον, πρὸ πάντ περὶ νεκρῶν, οἵτινες κεῖνται ἄταφοι· εὑρηται δὲ συνδεόμενον μὲ τὰς λέξεις ἀνδράσι δυσμενέεσσι Ε 488, θηρσὶ καὶ οἰωνοῖσιν ω 292, ἔλωρ καὶ κύρμα γένωμαι ε 473 λεῖαν (σπάραγμα) καὶ ἕρμαιον (εὕρημα) γένωμαι. μὴ ῥιφθῶ κυσὶν πρόβλητος οἰωνοῖς θ' ἔλωρ Σοφ. Αἴ. 830 μὴ ῥιφθῶ εἰς τοὺς κύνας ἐμπρὸς (διὰ νὰ μὲ φάγουν) καὶ εἰς τὰ ὄρνεα διὰ νά με ἁρπάσουν (νά με σπαράξουν). Πατρόκλοιο δ' ἔλωρα ἀποτείσῃ ἀξίαν Σ 93 «τιμωρίαν παράσχῃ ὑπὲρ τῆς Πατρόκλου ἀναιρέσεως» Σχ. (κυρ. διὰ τὸ ὅτι ἔχει καταστήσῃ τὸν Πάτροκλον ἅρπαγμα τῶν κυνῶν).

ἐμβαδόν πεζῇ, κατὰ ξηράν, μὲ τὰ πόδια.

ἐμβαίνω (ἴδ. βαίνω). Ἡ σύνταξις: ἐμβαίνω τινί τινός, (τί), ἔν τινι, εἴς τι, ἐπί τινος, κατά τι. Καὶ ἐπὶ προσ. ἐμβαίνω τινί. Μτβ. ἀόρ. α' ἐνέβησά τινα εἴς τι καὶ τινά τι.—ἐμβαίνω, ἐπιβαίνω, εἰσέρχομαι. ἵπποισιν μ' ἐκέλευε καὶ ἅρμασιν ἐμβεβαῶτα Ε 199 μὲ διέταττεν, ἀφ' οὗ ἐπιβῶ τοῦ ἅρματος, νὰ —. ἐπὶ πωλικῆς ἀνὴρ ἀπήνης ἐμβεβώς Σοφ. 'Ο. Τ. 802 ἐπιβεβηκὼς πωλ. ἀπήνης. κατ' ἀγραύλοιο βοὸς κέρας ἐμβεβαυῖα Ω 81 προσκολλημένη ἀπὸ μέσα εἰς τὸ κέρας βοός. γαστέρα ἐφθὴν ὑὸς ἐν ὄξει δριμεῖ καὶ σιλφίῳ ἐμβεβαῶσαν 'Αρχέστρ. π. 'Αθην. 101 C ἐντὸς ὄξους καὶ σιλφίου βαλμένην (πρβ. τὸ τῆς συνηθείας: «πλέει μέσα 'ς τὸ λάδι»). «ποταμῷ γὰρ οὐκ ἔστιν ἐμβῆναι δὶς τῷ αὐτῷ καθ' Ἡράκλειτον, οὐδὲ θνητῆς οὐσίας δὶς ἅψασθαι κατὰ ἕξιν· ἀλλ' ὀξύτητι καὶ τάχει μεταβολῆς σκίδνησι καὶ πάλιν συνάγει καὶ πρόσεισι καὶ ἄπεισι 'Απ. 'Ηρακλ. 91 (Πλουτ. 392 Β) δὲν δύναταί τις νὰ ἐμβῇ δὶς εἰς τὸν αὐτὸν ποταμὸν κατὰ τὸν 'Ηρ. οὐδὲ νὰ ἐγγίσῃ τις δὶς φθαρτὴν οὐσίαν, ὡς ἔχει («ἐν τῇ ἀτομικότητί της» ὡς λέγουσι σήμερον οἱ φιλοσοφοῦντες), ἀλλὰ διὰ τῆς ὀξύτητος καὶ ταχύτητος τῆς μεταβολῆς της διασκορπίζει (ὁ θεός;) καὶ πάλιν συνάγει (τὰ διεσκορπισμένα), καὶ πλησιάζει (-ουν) καὶ απομακρύνεται (-ονται). ἐς τόνδ' ἐνέβης (Canter: ἐνέβη) ξὺν ἀληθείᾳ χρησμὸν Αἰσχ. 'Αγ. 1566 εἰς τοῦτον τὸν λόγον (ὅτι κεκόλληται γένος πρὸς ἄτᾳ) ἐνέπεσες συμφώνως πρὸς τὴν ἀλήθειαν. ἐὰν μὴ πρότερον ἐμβεβῶσι τῷ ἐπιτηδεύματι Πλάτ. Φαῖδρ. 252 Ε ἐὰν δὲν ἔχουν εἰσέλθῃ προηγουμένως εἰς τὸ ἐπιτήδευμα. σὺν τοῖσδέ μ' ἐμβαίνονθ' ἁλουργέσιν θεῶν μή τις πρόσωθεν ὄμματος βάλοι φθόνος Αἰσχ. 'Αγ. 946 ἴδ. ἁλουργής.—Μετὰ δοτ. πατῶ ἐπάνω τινός. τὸ δὲ συγγενὲς ἐμβέβακεν ἴχνεσιν πατρός Πίνδ. Π. 10, 12 ἴδ. συγγενής. τῷ δ' ἐγὼ ἐμβαίνων κ 165 πατῶν ἐπάνω εἰς αὐτόν. Καὶ μτφ. ὠμοφρόνως δαίμων ἐνέβη Περσῶν γενεᾷ Αἰσχ. Πέρσ. 914 σκληρῶς ὁ δαίμων (ἡ τύχη) ἐνύβρισε (κυρ. ἐπάτησεν ἐπάνω) τῇ Π. γενεᾷ. Τὸ 'Ομ. Π 94 μή τις ἀπ' Οὐλύμποιο θεῶν αἰειγενετάων ἐμβήῃ «ἐμποδὼν γένηται, ἐναντιωθῇ» 'Ησ. παρεμβῇ. ὑμνεῦσαι Δία... καὶ πότνιαν Ἥρην χρυσέοισι πεδίλοις ἐμβεβαυῖαν 'Ησ. Θε. 12 κυρ. βεβηκυῖαν ἐν χρ. πεδίλοις: πατοῦσαν ἐντὸς χρυσῶν πεδίλων: χρυσοπέδιλον (952 καὶ λ 604).—Μτφ. ἀλλ' ἔμπαν μεγαλανορίαις ἐμβαίνομεν Πίνδ. Ν. 11, 44 ἀλλ' ὅμως (μ' ὅλα ταῦτα) εἰσερχόμεθα εἰς μεγάλα σχέδια.—Μετὰ γεν. γῆς δὲ μὴ ἐμβαίνῃς ὅρων Σοφ. Ο. Κ. 400 ὅπως μὴ εἰσέρχησαι ἐντὸς τῶν ὁρίων τῆς χώρας: ὅπως μὴ ὑπερβαίνῃς τὰ ὅρια τῆς χ. Μετὰ αἰτ. μένων βλέπει τε κἀντιδέρκεται δορὸς ταχεῖαν ἄλοκα (ὃ ἴδε) τάξιν ἐμβεβὼς Εὐρ. 'Ηρ. Μ. 164 ἀφ' οὗ ἅπαξ εἰσέλθῃ εἰς τὴν τάξιν, μένει εἰς τὴν θέσιν του καὶ βλέπει τοὺς ἐχθροὺς κτλ. ἔμβητον καὶ σφῶι Ψ 403 κυρ. ἐμβῆτε καὶ σεῖς οἱ δύο εἰς τὸν δρόμον: ἐμπρός: τρέχετε κττ. Ὁ ἀόρ. α' ἔχει μτβ. σημ. ἐμβιβάζω, ἐπιβιβάζω. ἐν δὲ τὰ μῆλα λαβόντες ἐβήσαμεν λ 4 λαβόντες τὰ πρόβατα ἐκεῖνα ἐνεβιβάσαμεν. ὀρέξας ἱκέτευσε δεξιὰν Ἰόλαος ἐμβῆσαί νιν δίφρον Εὐρ. Ἡρακλ. 845 ἐκτείνας τὴν δεξιὰν ἱκέτευσε (τὸν Ὕλλον) νὰ ἐμβιβάσῃ αὐτὸν εἰς τὸν δίφρον. Ἡ διόρθ. ἀμβῆσαι τοῦ Weckl. περιττή. ἐς ἄντλον ἐμβήσῃ πόδα 168 θὰ εἰσέλθῃς εἰς τὸν κίνδυνον. Κυρ. παροιμ. ἔκφρασις, ἀντιστοιχοῦσα πρὸς τὰς ἡμετ. «θὰ βγάλῃς τὸ φειδι ἀπὸ τὴν τρῦπα»: «θὰ βγάλῃς τὰ κάστανα ἀπὸ τὴν φωτιά». ὄχοις 'Ακεσταίοισιν ἐμβεβὼς πόδα 'Απ. Σοφ 611 ἀφ' οὗ ἐμβῇ μὲ τὸ πόδι του εἰς τὸ 'Ακεσταῖον ἅρμα· «ἐδόκουν δ' αἱ Σικελικαὶ ἡμίονοι εἶναι σπουδαῖαι» κατὰ Φώτιον. Καὶ μετὰ διπλ. αἰτ. καὶ σὲ καὶ φίλους... νεὼς κοῖλον ἐμβήσας σκάφος Εὐρ. Κύκλ. 467 ἀφ' οὗ ἐμβιβάσω καὶ σὲ καὶ τοὺς φίλους εἰς τὸ κ. σκάφος τοῦ πλοίου.

ἐμβάλλω. Ἡ σύνταξις: ἐμβάλλω νηῒ κεραυνόν, χιτῶνα χερσίν, ἐμβάλλω τινὰ εἰς τὸ δεσμωτήριον, εἰς τὸ βάραθρον, εἰς ἀπορίαν, εἰς ὑποψίαν· ἐμβάλλω λόγον περί τινος, πληγάς τινι, δεξιάν τινι· ἐμβάλλω τινί τι θυμῷ (εἰς τὸν νοῦν), μένος (πρβ. θυμὸν) τινί, χαλινὸν ἵππῳ, κώπαις χεῖρας· ἐμβάλλω τινὰ εἰς φιλοτιμίαν, ἐμβάλλω εἰς ἀγοράν, εἰς τὴν 'Αττικήν. — ῥίπτω μέσα· σκῆπτρον δέ οἱ ἔμβαλε χειρί Β 37 ἔβαλεν (ἔδωκεν) εἰς τὴν χεῖρά του τὸ σκῆπτρον. δυωδεκάτη δέ μιν αὖτις

χεροὶν Ἀχιλλῆος θεὸς ἔμβαλεν Φ 47 τὸν ἔρριψεν (ἔφερε) πάλιν εἰς τὰς χεῖρας τοῦ Ἀχ. Καὶ μετὰ δοτ. ὀργαν. τοῖς γὰρ κακοῖσι (διὰ τῶν κακῶν, διηγούμενος τὰ κακὰ) πλείον' οἶκτον ἐμβαλῶ Εὐρ. Τρφ. 473. ἐμβάλλω κώπαις δηλ. χεῖρας Πινδ. Π. 4, 201 βάλλω χέρι 'ς τὸ κωπί. καίτοι θεὸς ἔμβαλε θυμῷ ψ 260 καὶ ὁ θεός σοῦ τὸ ἔβαλε 'ς τὸν νοῦν σου, ὁ θεὸς σὲ ἐφώτισε. εἶτα τὰς κώπας λαβόντες... ἐμβαλόντες ἀνεβρύαξαν («ἀνεθορύβησαν» Σχ.), ἰππαπαῖ, τίς ἐμβαλεῖ (ἐνν. τὰς κώπας εἰς τὴν θάλασσαν); Ἀρφ. Ἱππ. 602 πρβ. ἀκούσῃ γὰρ μέλη κάλλιστ', ἐπειδὰν ἐμβάλῃς ἅπαξ Βατρ. 206 ὅπου δύναταί τις καὶ νὰ ἐνν. τὴν χεῖρα ταῖς κώπαις πρβ. κ 128. Ξεν. Ἑλλ. 5, 1, 13. Περὶ δὲ τοῦ ἐμβαλεῖν κώπαισι Πίνδ. Π. 4, 201 ἴδ. ἀνωτ. καὶ ἐνίπτω. ξυνετύγχανε πολλαχοῦ διὰ τὴν στενοχωρίαν τὰ μὲν ἄλλοις ἐμβεβληκέναι, τὰ δὲ αὐτοὺς ἐμβεβλῆσθαι Θουκ. 7, 70 συνέβαινε πολλαχοῦ διὰ τὴν στενοχωρίαν ἀφ' ἑνὸς μέν τινες νὰ ἔχωσι προσβάλῃ δι' ἐμβόλου ἄλλο πλοῖον, ἀφ' ἑτέρου δὲ οἱ ἴδιοι νὰ εἶνε προσβεβλημένοι ὑπὸ ἄλλου. αὐτῷ πληγὴν ἐνέβαλε μίαν εἰς τὸν βουβῶνα Πλουτ. Καῖσ. 66 τοῦ ἔδωκεν ἓν κτύπημα (μίαν πληγὴν) εἰς τὸν β. Ἀλλὰ καὶ ἀπολύτ. ἄνευ τοῦ πληγήν· ἔχων τις μάστιγα ἐμβαλέτω ὡς ἰσχυρότατα Ξεν. Ἱππικ. 8, 4 ἐνν. πληγάς. ἔμβαλλε χεῖρα δεξιάν Σοφ. Τρ. 1181 δός μου τὸ χέρι σου δηλ. εἰς πίστωσιν, εἰς λόγον τιμῆς. Καὶ ἔτι σαφέστερον· ἔμβαλλε χειρὸς πίστιν Φιλ. 813, πρὸς ὃ δίδεται ἀπόκρισις: ἐμβάλλω μενεῖν σοὶ δίδω τὴν χεῖρά μου εἰς πίστιν, ὅτι θὰ μείνω. πρβ. Ἀρφ. Σφ. 554. ὅσα ἐνῆν φυτὰ ἀκροδρύων γενναῖα ἐμβεβλημένα Δημ. 53, 15 ἐμβολιασμένα, κεντρισμένα. Ὅθεν: ὅσα καλὰ ἐμβόλια εὑρίσκοντο. Ἡ γεν. ἀκροδρύων ἐξαρτᾶται ἐκ τοῦ ὅσα φυτά.—τῇσιν δὲ φιλομμειδὴς Ἀφροδίτη ἠγάσθη (ὠργίσθη) προσιδοῦσα, κακὴν δέ σφ' ἔμβαλε φήμην Ἀπ. Ἡσι. (44 Sittl. Σχ. Εὐρ. Ὀρ 249) κυρ. τὰς ἐφόρτωσε μὲ κ. φήμην, ὅθ. τὰς ἐδυσφήμησεν. καλῶ δ' Ἄρη τὸν σφῷν τὸ δεινὸν μῖσος ἐμβεβληκότα Σοφ. Ο. Κ. 1391 καλῶ (ἐπικαλοῦμαι) τὸν Ἄρην, ὅστις σᾶς ἔχει ἐμπνεύσῃ τὸ φοβερὸν τοῦτο μῖσος. ἀντίπρῳροι ἐμβαλλόμεναι (αἱ νῆες) Θουκ. 7, 34 ἐν ᾧ προσεβάλλοντο ἀντικρὺ εἰς τὴν πρῷραν. Καὶ ἀπολύτ. σὺ δ' ἡμῖν ἔμβαλε παρὼν περὶ τούτου Ξεν. Κ. Π. 5, 5, 43 σὺ δὲ παρὼν συμβούλευσον ἡμῖν περὶ τούτου. ἐμβαλεῖν περὶ τούτου βουλὴν λέγεται ἐκ τοῦ πλήρους ἐν 2, 2, 18. μαρτυρίαν ἐνεβάλετο τοιαύτην δηλ. εἰς τὸν ἐχῖνον Δημ. 27, 51 κατέθεσε μαρτυρίαν τοιαύτην. ἐμβεβλημένος (ἐνν. εἰς τὸν ἐχῖνον) οὐδεμίαν μαρτυρίαν ὑπὲρ τούτων 40, 21. τὸ πλῆρες εἶνε ἐμβαλομένου γὰρ ἐμοῦ τὸν ὅρκον εἰς τὸν ἐχῖνον 49, 65 ἀφ' οὗ ἐγὼ ἐπισυνῆψα (κατέθεσα) ἔνορκον διαβεβαίωσίν μου.—ἐμβαλοῦ μ' ὅποι θέλεις ἄγων Σοφ. Φιλ. 481 πᾶρέ με μαζί σου καὶ βάλε με (μέσα) ὅπου θέλεις.—μῆτιν ἐμβάλλεο θυμῷ παντοίην Ψ 313 κυρ. κάθε λογῆς σκέψιν (συνετὴν) βάλλε εἰς τὸν νοῦν σου. μὴ δή μοι φύξιν ἐμβάλλεο θυμῷ Κ 447 μή μου βάλλῃς εἰς τὸν νοῦν σου ὅτι θὰ φύγῃς. τοῦτ' εἰς τὸν νοῦν ἐμβαλέσθαι Δημ. 18, 68 τοῦτο νὰ βάλῃς μέσα εἰς τὸν νοῦν του. ἐμβάλλεσθε (= ἐμβάλλετε ἡμῖν αὐτοῖς, ἐμφορεῖσθε) τῶν λαγῴων Ἀρφ. Εἰρ. 1312 ῥίχνετε μέσα σας λαγίσια κρέατα.

ἐμβάπτω βουτῶ μέσα. Καὶ μέσ. ὃ δὲ ἔτι αὐτῷ λοιπὸν ἦν τοῦ ἐμβάπτεσθαι Ξεν. Κ. Π. 2, 2, 5 ἐκεῖνο τὸ ὁποῖον τοῦ ἀπέμενε, διὰ νὰ βουτᾷ μέσα (τὸ ψωμί του). κᾆτ' ἐμβάπτευ καὶ ἐπείγου Ἀπ. Ἀρχεστράτ. π. Ἀθήν 327 A «βούτα μέσα τὸ ψωμί σου». Ἡ διόρθ. τοῦ Naeke ἔμβαπτ' εὖ περιττή. καὶ πῶς ἐγὼ Σθενέλου φάγοιμ' ἂν ῥήματα, εἰς ὄξος ἐμβαπτόμενος ἢ λευκοὺς (ξηροὺς Σχ.) ἅλας; Ἀπ. Ἀρφ. 151 (Ἀθήν. 367 B. Σχ. Ἀρφ. Σφ. 1312) πῶς νὰ φάγω τὰ λόγια τοῦ Σθεν., νὰ τὰ βουτῶ μέσα εἰς τὸ ξεῖδι ἢ μέσα εἰς τὸ ἀλάτι; θέλει δηλ. νὰ εἴπῃ, ὅτι τὰ ῥήματα τοῦ Σθεν. εἶνε ψυχρὰ καὶ ἀηδῆ· ἴδ. Ἀριστοτ. Ποι. 22 (= 1458 a 20).

ἐμβάς -άδος ἡ· εὐθὺς δ' ἀπὸ δορπηστοῦ κέκραγεν ἐμβάδας Ἀρφ. Σφ. 103 μόλις ἀποφάγῃ, φωνάζει (νὰ τοῦ φέρουν) τὰς ἐμβάδας του (ἃς ἔθηκε κάτω, πρὶν κατακλιθῇ εἰς τὸ δεῖπνον). καὶ δημοτικὴ γ' ἡ γνώμη καὶ καταχήνη τῶν σεμνοτέρων ἔσται πολλὴ καὶ τῶν σφραγῖδας ἐχόντων, ὅταν ἐμβάδ' ἔχων εἴπῃ· «προτέρῳ (Faber: εἴπῃ πρότερος) παραχώρει» Ἐκκλ. 632 καὶ μὲ τὴν γνώμην τοῦ δήμου θὰ εἶνε βέβαια καὶ εἰς μέγαν ἐμπαιγμὸν (θὰ χρησιμεύῃ) τῶν σοβαρωτέρων καὶ τῶν φορούντων τοὺς δακτυλίους (τῶν σφραγιδονυχαργοκομητῶν), ὅταν (τις) ἐμβάδα ἔχων εἴπῃ πρωτίτερα· «κάμε τόπον» (ἢ «κάμε τόπον νὰ περάσω ἐγὼ πρῶτα»). σὸν δ' οὐ τοῦτον ἐγὼ τίθεμαι τάφον, ἀλλὰ τὰ Βάκχου βήματα καὶ σκηνὰς ἐμβάδι πειθομένας Ἀνθ. 7, 51 τοῦτον δὲν θεωρῶ ἐγὼ τάφον σου, ἀλλὰ τὰς θυμέλας τοῦ Βάκχου καὶ τὰς σκηνὰς τὰς πειθομένας εἰς τὸν κόθορνον (τ. ἔ. τὰς τραγικὰς σκηνάς). Ἡ παραδεδομένη γρ. εἶνε ἤματα, ἣν διόρθ. ὁ Jacobs παραβαλὼν Πολυδ. 4, 123, καὶ ἔμβαλε, ὃ μετέγραψεν ὁ Hermann εἰς ἐμβάδι.

ἔμβασις ἡ, τὸ ἐμβαίνειν, εἰσέρχεσθαι π. χ. εἰς πλοῖον· σημ. καὶ τὸ ἐν ᾧ βαίνει (ἢ ἐμβαίνει) τις, τὸ ὑπόδημα, ὅθεν καὶ ἐμβάς Αἰσχ. Ἀγ. 936: ὑπαί τις ἀρβύλας λύοι, πρόδουλον ἔμβασιν ποδός: ἄς (μου) λύσῃ τις ὑποκάτω τὰς ἀρβύλας, τὰς δουλικὴν (ἀντὶ δούλου χρησιμευούσας μοι) ὑπηρεσίαν παρεχούσας μοι ἐμβάδας τῶν ποδῶν μου. εἶδες δ' ἂν ἢ πλευρ' ἢ δίχηλον ἔμβασιν ῥιπτόμεν' ἄνω τε καὶ κάτω Εὐρ. Βά. 740 τὴν προσθίαν βάσιν (οὕτω καλεῖ τοὺς προσθίους πόδας τοῦ λύκου ἐν Ῥήσ. 210) τὴν δίχηλον, ἔμβασιν δὲ λέγει, διότι διὰ ταύτης τὰ ζῷα ταῦτα ἐμβαίνουσι τ. ἔ. ἀρχίζουν τὸν δρόμον.

ἐμβατεύω πατῶ ἐντός, εἰσέρχομαι, συχνάζω· νῆσος... ἣν ὁ φιλόχορος Πὰν ἐμβατεύει Αἰσχ. Πέρσ. 451 εἰς ἣν συχνάζει (ἐμφιλοχωρεῖ) ὁ φιλ. Πάν. κλήρους ἐμβατεύσετε χθονὸς Εὐρ. Ἡρακλ. 876 θὰ εἰσέλθητε εἰς (θὰ πατήσητε) τὴν πατρῴαν ὑμῖν κεκληρωμένην γῆν. Καὶ μετὰ γεν. ἐμβατεύειν πατρίδος Σοφ. Ο. Τ. 825, ὡς τὸ ἐμβαίνειν ἐν Ο. Κ. 400. Πρβ. 924. ἐνεβάτευον εἰς τὴν ναῦν Δημ. 33, 6 ἔκαμνον κατάσχεσιν τοῦ πλοίου. — εἰς τὴν οὐσίαν 44, 16 λαμβάνω κατοχὴν τῆς κληρονομίας.

ἐμβέβασαν, ἐμβεβαώς, ἐμβέη καὶ ἐμβήῃ, ἔμβην ἴδ. ἐμβαίνω.

ἐμβιβάζω ἐμβάζω, βάζω μέσα· εἰς τὸ λῷον (Nauck: λῷστον) ἐμβιβάζω σ' ἴχνος ἀντὶ τοῦ κακοῦ Εὐρ. Ἡρ. Μ. 856 προσπαθῶ νά σε ἐμβάσω εἰς τὴν καλλιτέραν ὁδὸν ἀντὶ τῆς κακῆς. Λείπεται τοίνυν τὸ ψευδῆ δοξάσαι ἐν τῷδε, ὅταν γιγνώσκων σὲ καὶ Θεόδωρον, καὶ ἔχων ἐν ἐκείνῳ τῷ κηρίνῳ ὥσπερ δακτυλίων σφῷν ἀμφοῖν τὰ σημεῖα, διὰ μακροῦ καὶ μὴ ἱκανῶς ὁρῶν ἄμφω προθυμηθῶ, τὸ οἰκεῖον ἑκατέρου σημεῖον ἀποδοὺς τῇ οἰκείᾳ ὄψει, ἐμβιβάσας προσαρμόσαι εἰς τὸ ἑαυτῆς ἴχνος, ἵνα γένηται ἀναγνώρισις, εἶτα τούτων ἀποτυχὼν καὶ ὥσπερ οἱ ἔμπαλιν ὑποδούμενοι παραλλάξας προσβάλω τὴν ἑκατέρου ὄψιν πρὸς τὸ ἀλλότριον σημεῖον, ἢ καὶ οἷα τὰ ἐν τοῖς κατόπτροις τῆς ὄψεως πάθη, δεξιὰ εἰς ἀριστερὰ μεταφερούσης, ταὐτὸν παθὼν διαμάρτω Πλ. Θεαίτ. 193 C ὑπολείπεται λοιπὸν ἡ ἑξῆς περίπτωσις ψευδοῦς παραστάσεως (κυρ. ὑπολ. νὰ σχηματίσῃ τις ψευδῆ παράστασιν ἐν τῇ ἑξῆς περιπτώσει), ὅταν γνωρίζων σὲ καὶ τὸν Θεόδ. καὶ ἔχων ἐν ἐκείνῳ τῷ κηρίνῳ πίνακι (ἐκμαγείῳ) τῆς μνήμης μου τὰ ὡς ἐκ δακτυλίων ἀποτυπώματα ἀμφοτέρων ὑμῶν, προσπαθήσω, ἐν ᾧ σᾶς βλέπω ἀμφοτέρους διὰ μακροῦ χρόνου καὶ ὄχι ὅσον ἀρκεῖ, ἀποδώσας (ἀναγαγὼν) τὸ οἰκεῖον ἑκατέρου ὑμῶν (ἐν τῇ μνήμῃ μου) ἀποτύπωμα εἰς τὴν οἰκείαν ἐξωτερικὴν ὄψιν ὑμῶν (εἰς τὴν οἰκείαν ἐκ τῆς ὄψεως ὑμῶν σχηματιζομένην εἰκόνα) καὶ ταύτην ἐμβιβάσας εἰς τὸ ἴδιον αὐτῆς ἴχνος (ὅπερ ἀπέλιπεν ἐν τῇ μνήμῃ) νὰ προσαρμόσω εἰς αὐτὸ (ἵνα ἴδω, ἂν γίνεται ἀκριβὴς ἐφαρμογή), ἵνα γίνῃ ἀναγνώρισις· καὶ ἔπειτα ὅταν ἀποτύχω τούτων καί, ὅπως οἱ βάλλοντες ἀνάποδα τὰ ὑποδήματά των, παραλλάξας βάλω τὴν ἐκ τῆς ὄψεως ἑκατέρου εἰκόνα πλησίον εἰς τὸ ἀλλότριον ἀποτύπωμα, ἢ καί, ὁποῖα εἶνε τὰ ἐν τοῖς κατόπτροις συμβαίνοντα πάθη εἰς τὴν ὄψιν, μεταφέρουσαν τὰ δεξιὰ εἰς τὰ ἀριστερά, πάθω καὶ ἐγὼ τὸ ἴδιον καὶ ἀστοχήσω. εἴργετε αὐτὸν τῶν ὑπὲρ τῆς εἰρήνης λόγων, εἰς δὲ τοὺς ὑπὲρ τῶν πεπραγμένων ἐμβιβάζετε Δημ. 19, 97 ἀπομακρύνετε αὐτον (τὸν Αἰσχίνην) ἐκ τῶν περὶ τῆς εἰρήνης λόγων: ἐμβιβάζετε (ὑποχρεώνετέ τον νὰ εἰσέρχηται) εἰς τοὺς περὶ τῶν ὑπ' αὐτοῦ πεπραγμένων λόγους. τὰ μὲν καὶ ἐκ τῶν Δράκοντος νόμων, τὰ δὲ καὶ ἐκ τῶν Σόλωνος πειρῶμαι λαμβάνων ἐμβιβάζειν εἰς τὴν δικαιοσύνην τοὺς οἰκέτας Ξεν. Οἰκ. 14 4 ἄλλα μέν τινα λαμβάνων ἐκ τῶν νόμων τοῦ Δρ., ἄλλα δὲ καὶ ἐκ τῶν Σόλ. προσπαθῶ νὰ ἐμβιβάζω τοὺς οἰκέτας εἰς τὴν δικαιοσύνην.

ἐμβλέπω βλέπω τινὰ εἰς τὸ πρόσωπον, παρατηρῶ κατὰ πρόσωπον. ποῖ γάρ ποτ' ἐμβλέψασα τοιοῦτον θράσος αὐτή θ' ὁπλίζῃ κἄμ' ὑπηρετεῖν καλεῖς; Σοφ. Ἠλ. 995 εἰς τί ἀποβλέψασα καὶ σὺ αὐτὴ ὁπλίζεσαι μὲ τοιαύτην τόλμην καὶ ἐμὲ προσκαλεῖς εἰς βοήθειάν σου; οἰκειότητος ἐμβλέπων ὠλίσθανον Ἀπ. Ἀδέσπ. κωμ. ποιητοῦ παρὰ Πλουτ. 769 B ὅπου προέτεινα οἰκεῖον ἦθος, ὁ δὲ Headlam εἰς λειότητα δ'. Ἀλλ' ἡ γραφ. τοῦ κώδ. δὲν εἶνε οἰκειότητα δ'.

ἐμβοάω ἐκβάλλω βοὴν (συνήθ. ἄναρθρον) ἐντὸς τοῦ στόματος ἢ ἵνα ἀπειλήσω, ὡς οἱ ὁρμῶντες ἐναντίον τῶν πολεμίων, ἢ ἵνα παροτρύνω ἢ ὁδηγήσω τοὺς κύνας. ἐμβοήσαντες ἐπ' αὐτοὺς ὥρμησαν Θουκ. 2, 92. 4, 34. ἐμβοώντων δ' αὐτῷ διωκομένῳ ἰὼ κύνες Ξεν. Κυνηγ. 6, 17 ἴδ. ἐγκράζω.

ἐμβολή ἡ, ἐπίθεσις, προσβολή. Ἐπὶ νεῶν ἡ διὰ τοῦ ἐμβόλου προσβολή· οὔτε γὰρ ἂν ἐπιπλεύσειέ τις ὡς χρὴ ἐς ἐμβολὴν Θουκ. 2, 89 οὔτε νὰ ἐπιπλεύσῃ τις δύναται (κατὰ τοῦ ἐχθρικοῦ πλοίου), καθὼς πρέπει, εἰς ἐπίθεσιν (ἵνα ἐπιτεθῇ) διὰ τοῦ ἐμβόλου. Αἰσχ. Πέρσ. 413. πόσον δὴ πλῆθος ἦν νεῶν Ἑλληνίδων, ὥστ' ἀξιῶσαι μάχην συνάψαι ναΐοισιν ἐμβολαῖς; 337 πόσα τάχα ἦσαν τὰ Ἑλλ. πλοῖα, ὥστε νὰ τολμήσωσι νὰ συνάψωσι μάχην πρὸς τὸν Περσικὸν στόλον, προσβάλλοντα αὐτὸν διὰ τῶν ναυτικῶν ἐμβόλων; Τὰς ἐμβολὰς διακρίνει ἀπὸ τῶν προσβολῶν ὁ Θουκ. ὧδε (7, 70): ξυμπεσουσῶν δὲ ἐν ὀλίγῳ πολλῶν νεῶν..., αἱ μὲν ἐμβολαὶ διὰ τὸ μὴ εἶναι τὰς ἀνακρούσεις καὶ διέκπλους ὀλίγαι ἐγίγνοντο, αἱ δὲ προσβολαί, ὡς τύχοι ναῦς νηῒ προσπεσοῦσα, ἢ διὰ τὸ φεύγειν ἢ ἄλλῃ ἐπιπλέουσα, πυκνότεραι ἦσαν ἐπειδὴ δὲ ἐν στενῷ χώρῳ πολλὰ πλοῖα συνεκρούσθησαν, αἱ μὲν διὰ τοῦ ἐμβόλου προσβολαὶ ἐγίνοντο ὀλίγαι, διότι δὲν ὑπῆρχον αἱ ὑποχωρήσεις καὶ οἱ διέκπλοι (διότι δὲν ὑπῆρχε τόπος, ἵνα μεταχειρισθῶσι τὰς ὑποχ. καὶ τοὺς δι.), αἱ δὲ ἄλλαι προσβολαί, καθὼς ἤθελε τύχῃ νὰ συγκρουσθῇ ἓν πλοῖον πρὸς ἄλλο, ἢ διότι ἔφευγεν ἢ διότι ἔπλεεν ἐναντίον ἄλλου, ἦσαν πυκνότεραι. — Καὶ ἄλλως· προύτεινε τεύχη κἀφυλάσσετ' ἐμβολάς, ἐκεῖσε κἀκεῖσ' ἀσπίδ' ἐκτείνων χερί Εὐρ. Ἀνδρ. 1130 προέτεινε τὴν ἀσπίδα του καὶ ἐφυλάττετο ἀπὸ τὰς προσβολὰς τῶν λίθων, ἄλλοτε πρὸς τοῦτο καὶ ἄλλοτε πρὸς ἐκεῖνο τὸ μέρος ἐκτείνων διὰ τῆς χειρὸς τὴν ἀσπίδα. ταῦρος ὣς εἰς ἐμβολὴν Εὐρ. Ἡρ. Μ. 869 ὡς τ. ἑτοιμαζόμενος εἰς προσβολήν. Παθ. ἐν Ἀπ. 689 ταῦρος λέοντος

ὡς βλέπων ἐς ἐμβολήν ὡς τ. ἀποβλέπων εἰς τὴν ἐκ τοῦ λεοντος προσβολήν. || «ἐμβολή τὸ ἄκρον τοῦ κριοῦ, τοῦ μηχανικοῦ ὀργάνου» (Σουΐδας): ἡ δὲ (δοκὸς) ῥύμη ἐμπίπτουσα ἀπεκαύλιζε τὸ προέχον τῆς ἐμβολῆς Θουκ. 2, 76 ἡ δὲ δοκὸς μεθ' ὁρμῆς ἐμπίπτουσα ἀπέκοπτε τὸ ἄκρον («τὸ προβεβλημένον») τῆς (κριομόρφου) κεφαλῆς (τῆς πολιορκητικῆς μηχανῆς).

ἔμβραχυ συντόμως, ἐν μιᾷ λέξει = ὡς ἔπος εἰπεῖν, πλὴν ὅτι τὸ μὲν ἔμβραχυ κεῖται ἐν ἀναφ. προτάσεσι, τὸ δὲ ὡς ἔπος εἰπεῖν μετὰ τοῦ πάντες καὶ τοῦ οὐδέν: ἔδει παρέχειν ὅτι τις εὔξαιτ' ἔμβραχυ Κρατίν. Ἀπ. 254 ἔπρεπε νὰ παρέχῃ ἐν συντόμῳ πᾶν ὅ τι τις ἐπεθύμει. Πιθανῶς δὲ προῆλθεν ἐκ τῆς συγχύσεως τοῦ ἐν βραχεῖ καὶ τοῦ ἐν βραχύ (πρβ. Πλουτ. Ἠθ 391 D).

ἐμβρέμομαι ἐντός τινος βρέμομαι, ἠχῶ· ἀνέμιοιο δεινὸς ἀήτης ἱστίῳ ἐμβρέμεται Ο 627 βοΰζει μέσα εἰς τὸ πανί.

ἐμβριμάομαι μέσα μου βριμῶμαι, φρυάττω, ἐξορμῶ· ἵππους ἐν ἀμπυκτῆρσιν ἐμβριμωμένα Αἰσχ. Ἑπτ. 448 «θυμὸν πνεούσας καὶ φρυαττούσας» Σχ. ἐντὸς τῶν χαλινῶν φρυαττούσας καὶ ἀφριζούσας.

ἐμβροντάομαι βροντῇ πλήττομαι ἐντὸς (ἐμπλήττομαι πρβ. ἔμπληκτος)· περὶ τὰς εἱρκτὰς (εἱρ-) στρατοπεδευομένου αὐτοῦ πίπτει κεραυνὸς εἰς τὸ στρατόπεδον, καὶ οἱ μέν τινες πληγέντες οἱ δὲ καὶ ἐμβροντηθέντες ἀπέθανον Ξεν. Ἑλλ. 4, 7, 7 περὶ οὗ ὁ Παυσαν. 3. 5, 8 λέγει τάδε: «καί τινες καὶ ἀπώλοντο τῶν στρατιωτῶν κεραυνωθέντες (= κεραυνῷ πληγέντες), τοὺς δὲ καὶ ἔκφρονας ἐποίησαν αἱ βρονταί»· ὥστε ἐμβροντηθέντες = ἔκφρονες γενόμενοι. Καὶ μτφ. τὸν δὲ κατηγοροῦντα τί (ἡγοῦντο εἶναι); ἐμβεβροντῆσθαι, τὴν πόλιν ἀγνοεῖν κέ. Δημ. 19, 231 ὅτι εἶνε παραζαλισμένος (εἶνε διατεταραγμένος τὸν νοῦν), ὅτι ἀγνοεῖ τοὺς συμπολίτας του (οἵτινες ἄλλως ἔκριναν τὰ περὶ ὧν ὁ λόγος). πρβ. ἐμβρόντητος καὶ τὸ τῆς συνηθείας «μπουμπουνισμένος».

ἐμέθεν, ἐμεῖο, ἐμέο, ἐμεῦ ἐπ. καὶ Ἰων. ἀντὶ ἐμοῦ γεν. τοῦ ἐγώ.

ἔμεικτο ἴδ. μείγνυμι.

ἐμέμηκεν ἴδ. μηκάομαι.

ἔμεν καὶ ἔμεναι ἴδ. εἰμί.

ἔμεν καὶ ἔμεναι ἴδ. ἵημι.

ἐμέω (ῥ. Fεμ-, πρβ. vomo), μέλλ. ἐμοῦμαι Αἰσχ. Εὐμ. 733. ἐνεξεμεῖς Ἀπ. Πολυζήλ. 4 (ἐνεξεμεῖ Elmsley). Τὸ Ἱπποκρ. 6, 42 L ἐμέεται εἶνε παθ. ἐν. ἤμεσα Ἱπποκρ. 2, 696. 7, 194. Λουκ. Ἑρμ. 11 ἐξ- Ἀρφ. Ἀχ. 6. ἀπέμεσσεν Ξ 437. ἐξήμησε (ἐξήμεσσε Passow) Ἡσ. Θε. 497. ἐξεμέσω Ἀρφ. Ἀχ. 586. Ἱπποκρ. 7, 12. -έσειε(ν) μ 237. 437. ἐμέσαι Ἡρ. 1, 133. ἐξ- Πλ. Πολ. 406 D. ἐμήμεκα μτγν. Ὑπερσ. ἐμημέκεε Ἱπποκρ. 5, 232. ἐμήμεσμαι Αἰλ. Π. Ἱ. 13, 21. ἠμέθην καὶ ἐμεθήσεται μτγν. ἐμῇ τὸν ἰὸν οὐδὲν ἐχθροῖσι βαρύν Αἰσχ. Εὐμ. 733 «ἐκβάλλει τὴν ὀργὴν οὐδὲν δυναμένην βλάψαι τοὺς ἐχθρούς» Σχ. θὰ ξεράσῃς τὸ φαρμάκι σου, χωρὶς νὰ βλάψῃς τοὺς ἐχθρούς σου. Ἐπὶ σκώμματος: κακῶν κατάρχεις (γὰρ ἄρχεις Πλουτ. 634 F) τήνδε μοῦσαν εἰσάγων Πλούτ. καὶ Ἀθήν. 616 C: «Τελεσφόρον... ἐπειδὴ ἔσκωψέ ποτε ἐν συμποσίῳ τὴν Ἀρσινόην... ὡς ἐμετικὴν οὖσαν εἰπὼν κακῶν κατάρχεις τήνδ' ἐμοῦσαν εἰσάγων, ὁ Λυσίμαχος ἀκούσας ἐμβληθῆναι αὐτὸν ἐκέλευσεν εἰς γαλεάγραν».

ἐμίν Δωρ. = ἐμοί.

ἔμμαθε ἴδ. μανθάνω.

ἐμμανής 2 ἀοίνοις ἐμμανεῖς θυμώμασι Αἰσχ. Εὐμ. 862 ἴδ. θηγάνη.

ἐμμάχομαι: ἐπιτηδεώτατόν ἐστι ἐμμαχέσασθαι τὸ πεδίον Ἡρ. 9, 7 = ἵνα τις μαχέσηται ἐν αὐτῷ.

ἐμμείγνυμι ἐντός τινος ἀναμειγνύω. Ἀλλὰ καὶ ἀμτβ. ἔνθ' οἶμαι τὸν ἐγρεμάχαν Θησέα καὶ τὰς διστόλους ἀδμῆτας ἀδελφὰς αὐτάρκει τάχ' ἐμμείξειν βοᾷ τούσδ' ἀνὰ χώρους Σοφ. Ο. Κ. 1054 ὅπου νομίζω, ὅτι ὁ ἐγείρας τὴν μάχην Θησεὺς καὶ αἱ δύο παρθένοι ἀδελφαὶ ταχέως θὰ συναντηθῶσιν ἀνὰ τοὺς χώρους τούτους διὰ βοῆς αὐτάρκους (τ. ἔ. ἱκανῆς μὲν νὰ τρέψῃ τοὺς ἐχθροὺς ἐκ μέρους τῶν Θησειδῶν, ἱκανῆς δὲ νὰ προσκαλέσῃ τοὺς φίλους ἐκ μέρους τῶν παρθένων). Τινὲς ἀνάγουσιν ἐνταῦθα ὡς κατὰ τμῆσιν ῥηθὲν τὸ Αἰσχ. Ἑπτ. 940: ἐν δὲ γαίᾳ ζόα φονορύτῳ μέμεικται «ἐν δὲ τῇ γῇ ῥανθείσῃ τῷ αἵματι μέμεικται ἡ ζωὴ αὐτῶν» Σχ. Ἐν δὲ τῷ ἐκ τοῦ Πλουτ. Περικλ. κ. 4: τοῖς δ' ὅλοις πρῶτος (Ἀναξαγόρας) οὐ τύχην οὐδ' ἀνάγκην διακοσμήσεως ἀρχήν, ἀλλὰ νοῦν ἐπέστησε καθαρὸν καὶ ἄκρατον, ἐμμεμειγμένοις πᾶσι τοῖς ἄλλοις γρ. ἐν μεμειγμένοις μετὰ τοῦ Ῥεϊσκίου.

ἐμμέλεια ἡ: ἀπολῶ γὰρ αὐτὸν ἐμμελείᾳ κονδύλου Ἀρφ. Σφ. 1503 διότι θὰ τὸν συντρίψω μὲ μίαν ῥυθμικὴν γρονθιὰ (δι' ἑνὸς γρονθοκοπήματος).

ἐμμελετάω: ἐμαυτόν σοι ἐμμελετᾶν παρέχειν οὐ πάνυ δέδοκται Πλ. Φαῖδρ. 228 E δὲν εἶμαι πολὺ ἀποφασισμένος νὰ παρέχω σοι ἐμαυτὸν πρόθυμον ἀκροατὴν (κυρ. ἵνα ἐνώπιόν μου, ἐμὲ ἔχων ἀκροατήν, γυμνασθῇς εἰς τὴν ἀπαγγελίαν τοῦ λόγου σου).

ἔμμεν καὶ ἔμμεναι ἴδ. εἰμί.

ἐμμέμονα εἶμαι εἰς ἐξέγερσιν, μεγάλην ταραχήν· ἐπί μοι μελέῳ βάρος ἄπλετον· ἐμμέμονεν φρήν Σοφ. Τρ. 982 ἐπικάθηται ἐπ' ἐμοῦ («ἐπάνω εἰς τὴν ψυχήν μου») ἄπειρον βάρος· ἡ καρδία μου εἶνε ἐν ταραχῇ («ἐφορμᾶται, ἐνθουσιᾷ» Σχ.)

ἐμμενής 2 ἔν τινι ἐπιμένων, σταθερός· ἐν δὲ τὸ θαρσαλέον τε καὶ ἐμμενές, ὅππῃ ὀρούσαι, φαίνετ' Ἀναξάρχου κύνεον μένος Πλουτ. 446 B ἐν τούτοις δὲ φαίνεται τὸ θαρραλέον καὶ σταθερόν, εἰς ὅ τι ἤθελεν ὁρ-

μήσῃ, κυνικὸν φρόνημα (ἐνν. τὴν κυνικὴν ἀληθῶς σταθερότητα καὶ ἀπάθειαν τοῦ ἀνδρός) τοῦ Ἀναξάρχου.

ἐμμένω καὶ ἐμμίμνω μένω ἔν τινι, διατρίβω εἴς τι· ἐν τῇ κεφαλῇ γὰρ ἐμμένει πολὺν χρόνον Ἀρφ. Ἐκκλ. 1120 διότι ἡ ὀσμὴ αὐτῶν διατηρεῖται πολὺν χρόνον ἐν τῇ κεφαλῇ. — ἐμμείναντες χρόνον οὗ εἶχον τὰ σιτία, ἀνεχώρησαν Θουκ. 3, 1 ἐνδιατρίψαντες ἐφ' ὅσον χρόνον εἶχον τὰ σιτία, ἀνεχ. Ἡ σύνταξις κατὰ τὸ σιτία δέκα ἡμερῶν. Ὁμοίως 2, 23. ὅρκος ἐμμένει πιστώμασι Αἰσχ. Χο. 975 ἴδ. πίστωμα. μόνοι ἔτ' ἐμμένοντες ὀρθῷ νόμῳ Σοφ. Αἴ. 350 ἴδ. ὀρθός. εἰπέ μοι, τί δ' ἦν, τὸ δεῖνα, τῇ διαίτῃ μὴ ἐμμένῃς; Ἀρφ. Σφ. 524 εἰπέ μοι, καὶ ἄν, θέλω νὰ εἴπω, καὶ ἂν δὲν ἀποδεχθῇς τὴν ἀπόφασιν τῶν διαιτητῶν καὶ δὲν θελήσῃς ν' ἀποθάνῃς; Ἐνίοτε τῆς συνηθεστέρας δοτικῆς προτάσσεται ἡ ἐν, ὡς Θουκ. 4, 118. Πλ. Νόμ. 844 C κἀλλ. Ἀλλ' οὐ μόνον ἐπὶ προσώπ. ἀλλὰ καὶ ἐπὶ πραγμάτων· τέσσαρα καὶ δέκα ἔτη ἐνέμειναν αἱ τριακοντούτεις σπονδαί Θουκ. 2, 2 ἔμειναν (παρέμειναν) ἐν αὐτοῖς· τὸ ξυνέμειναν (Cobet) θὰ ἐσήμ. ἔμειναν ἀδιάλυτοι, ὅπερ ὅμως δὲν ἤθελε νὰ ἐκφράσῃ ὁ συγγρ. ὡς περιττόν. τὸ σιδηροφορεῖσθαι τούτοις ἀπὸ τῆς παλαιᾶς λῃστείας ἐμμεμένηκε 1, 5 ἔχει διαμείνῃ (διατηρηθῇ) ἐν τούτοις· τὸ δὲ συμμεμένηκε θὰ ἐσήμ. ἔχει μείνῃ ἀδιάλυτον, συμπαγές· ὅπερ δὲν ἁρμόζει, ἴδ. συμμένω. Ἄλλως δὲ καὶ τὸ ἁπλοῦν μένω λέγεται ἐπὶ σπονδῶν, ὡς Ξεν. Ἀν. 2, 3, 24 αἱ σπονδαὶ μενόντων. Ὁμοίως λέγει ὁ Ἡρόδ. 7, 151 εἴ σφι ἔτι ἐμμένει (ἡ φιλίη), ὅπερ οὐδείς ποτε μετέβαλεν εἰς συμμένει. ἀλλά μοι τόδ' ἐμμένοι καὶ μήποτ' ἐκτακείη Αἰσχ. Πρ. 550 εἴθε νὰ διαμένῃ ἐν ἐμοὶ (τ. ἔ. ἐν ταῖς φρεσί μου) καὶ μηδέποτε νὰ ἐξαλειφθῇ τόδε (τ. ἔ. ὅτι ἡδύ ἐστι τὸ διάγειν ἐν ἀγαθαῖς ἐλπίσιν). εἰ σοί γ' ἅπερ φῂς ἐμμενεῖ τελοῦντί μοι Σοφ. Ο. Κ. 648 ἀρκεῖ μόνον νὰ φυλάξῃς τὸν λόγον σου (κατὰ λέξιν: ἀρκεῖ μόνον νὰ μένουν ἐν τῇ διανοίᾳ σου ὅσα λέγεις καὶ νὰ τὰ ἐκτελέσῃς). ἐὰν οὗτος (ὁ λόγος) ἐμμένῃ, γεγηθὼς ἀπέρχεται ἐκ τοῦ θεάτρου ὁ ποιητής Πλ. Φαῖδρ. 258 B πρὸς ὃ ἀντιδιαστέλλεται τό: ἐὰν δὲ ἐξαλιφῇ καὶ ἄμοιρος γένηται λογογραφίας. ἀλλὰ τὰ μέν τ' ἐνέμιμνε, μελέων τὰ δέ τ' ἐξεβεβήκει Ἀπ. Ἐμπεδ. 35 ἀλλ' ἐν μέρει μὲν διέμενεν ἐν αὐτοῖς, ἐν μέρει δὲ εἶχεν ἐκβῇ ἐκ τῶν μελῶν (τοῦ παντὸς τ. ἔ. τῶν στοιχείων).

ἔμμηνος 2: αἱ λήξεις τοῖς ἐμπόροις τῶν δικῶν ἔμμηνοί εἰσιν Δημ. 33, 23 αἱ ἐμπορικαὶ δίκαι πρέπει νὰ ἐκδικασθῶσιν ἐντὸς τοῦ μηνός.

ἔμμοτον: ἔμμοτα φάρμακα, ξαντὸν μὲ ἀλοιφήν· δώμασιν ἔμμοτον τῶνδ' ἄκος (Schütz: ἑκὰς) οὐδ' ἀπ' ἄλλων ἔκτοθεν Αἰσχ. Χο. 469 τῶνδε τῶν κακῶν ἡ θεραπεία ἐν τῷ οἴκῳ διὰ τοῦ ξαντοῦ πρέπει νὰ γίνῃ καὶ ὄχι ὑπ' ἄλλων ἐκτὸς τοῦ οἴκου διὰ σκληρᾶς ἔριδος αἱματηρᾶς. Ἴσως δ' ὅμως τὸ τῶνδ' ἑκάς ἐνν. τοὺς περὶ τὸν χορόν.

ἐμός, ἐμή, ἐμόν· ἐμὸν αὐτοῦ χρεῖος β 45. ἅπαξ ἔτ' εἰπεῖν ῥῆσιν ἢ θρῆνον θέλω ἐμὸν τὸν αὐτῆς Αἰσχ. Ἀγ. 1321 ἀκόμη μίαν φορὰν (διὰ τελευταίαν φορὰν) θέλω νὰ εἴπω ῥῆσιν ἢ (μᾶλλον) θρηνητικὸν ᾆσμα ἐπ' ἐμοὶ αὐτῇ (ὄχι ἐπὶ θανοῦσιν, ἐφ' οἷς συνήθης ὁ θρῆνος) πρβ. Ἱκ. 122. σφὼ δ' ἀντ' ἐκείνων τἀμὰ δυστήνου κακὰ ὑπερπονεῖτον Σοφ. Ο. Κ. 344 ὑμεῖς δ' αἱ δύο ἀντὶ ἐκείνων κοπιάζετε διὰ τὰ κακὰ ἐμοῦ τοῦ δυστυχοῦς· ἡ σύντ. σύστοιχος: πονεῖτον ὑπὲρ ἐμοῦ τοὺς ἐκ τῶν κακῶν ἐμοῦ τοῦ δυστήνου πόνους. δαὴρ ἐμὸς ἔσκε κυνώπιδος Γ 180 ἀνδράδελφος ἐμοῦ τῆς κυνοπροσώπου ἦν. τοὐμὸν αἷμα... πατρός Σοφ. Ο. Τ. 1400 τὸ ὑπ' ἐμοῦ χυθὲν αἷμα τοῦ πατρός. ἐγὼ μέν, ὦ παῖ, καὶ τὸ σὸν σπεύδουσ' ἅμα καὶ τοὐμὸν αὐτῆς ἦλθον Ἠλ. 251 ἐγὼ μέν, ὦ τέκνον, καὶ διὰ τὸ καλὸν σοῦ καὶ διὰ τὸ ἰδικόν μου προθύμως φροντίζουσα ἦλθον. Ἡ τοιαύτη μετὰ γεν. σύναψις τῆς ἐμός συνήθης μὲν τοῖς ποιηταῖς, σπανιωτάτη δὲ τοῖς πεζ. Τοὐναντίον δὲ ἡ πληθ. κτητικὴ ἡ(ὑ)μέτερος, σφέτερος συχνάκις εὕρηται μετὰ γεν. παρά τε τοῖς ποιηταῖς καὶ παρὰ τοῖς πεζ. τοῖς ὑμετέροις αὐτῶν μαχεῖσθε ξυμμάχοις Θουκ. 3, 40. πολέμιοι ὄντες τοῖς ἡμετέροις αὐτῶν φίλοις Ξεν. Ἀν. 7, 1, 29 κτλ. ὡς εἰδῶ σάφα, εἰ τοὐμὸν ἀλγεῖς μᾶλλον ἢ κείνης ὁρῶν λωβητὸν εἶδος ἐν δίκῃ κακούμενον Σοφ. Τρ. 1068 ἵνα γνωρίζω καλῶς, ἂν λυπεῖσαι διὰ τὴν τύχην ἐμοῦ περισσότερον ἢ διὰ τὴν τύχην ἐκείνης. Τοιοῦτον εἶνε περίπου τὸ νόημα, ὅπερ ἀπέδωκε καὶ ὁ Κικέρων μεταφράσας: iam cernam mene an illam potiorem putes, οὐδὲν εἰπὼν περὶ τοῦ στίχου λωβητὸν... κακούμενον, ὃν ἐπείσακτον θεωρεῖ ὁ Nauck, ὁ δὲ Σχολ. ἑρμηνεύει: «ὅταν ἴδῃς τὸ σῶμα τῆς Δηϊανείρας παρ' ἐμοῦ βλαπτόμενον καὶ δικαίως καταπονούμενον». τοὐμόν τε καὶ τοῦδ' ἐκφυγεῖν χρῄζων ἀράς Εὐρ. Φοίν. 477 θέλων νὰ ἐκφύγω τὰς κατάρας καὶ διὰ τὸ ἰδικόν μου συμφέρον καὶ διὰ τὸ τούτου (καὶ δι' ἰδικόν μου καὶ δι' ἰδικόν του λ/σμόν). τὸ δὲ δὴ ἐμόν τε καὶ τῆς ἐμῆς τέχνης σιγῶ ὅσον γέλωτα ὀφλισκάνομεν Πλ. Θεαίτ. 161 E περὶ δ' ἐμοῦ καὶ τῆς ἐμῆς τέχνης σιωπῶ (ἢ: τὴν ἐμὴν σπουδὴν καὶ τὴν ἐμὴν τέχνην ἀποσιωπῶ), πόσον γινόμεθα καταγέλαστοι. τό γ' ἐμὸν οὐδὲν ἂν προθυμίας ἀπολείποι Πολ. 533 A = ἔγωγε οὐδὲν ἂν πρ. ἀπολείποιμι: ἐγὼ τοὐλάχιστον ἤθελον δείξῃ μεγάλην προθυμίαν. ἔχει δὲ τοὐμὸν οὐκ ἀναίδειαν, ἀλλ' εὐλάβειαν Εὐρ. Ἡρ. Μ. 165 ἐμοῦ ἡ διαγωγὴ δὲν δεικνύει σκληρότητα, ἀλλὰ προφύλαξιν. ἀλλ', ὦ κασίγνηθ', ὧδ' ὅπως καὶ σοὶ φίλον καὶ τοὐμὸν ἔσται τῇδε Σοφ. Ἠλ. 1302 ἀλλ' ὦ ἀδελφέ μου (δηλ. πῶς δύνασαι ν' ἀμφιβάλλῃς), ὁ τρόπος (ἡ διαγωγή) μου θὰ ἔχῃ οὕτως, ὅπως σοὶ εἶνε ἀρε-

στόν· τὸ ἐν ἀρχῇ ὧδε ἐπαναλαμβάνεται διὰ τοῦ ἐν τέλει τῇδε. τοὐμοῦ γὰρ οὔ μοι φροντίς, εἰ φευξούμεθα, κείνους δὲ κλαίω συμφορᾷ κεχρημένους Εὐρ. Μήδ. 346 διὰ τὸν ἑαυτόν μου (κυρ. διὰ τὸ ἰδικόν μου: διὰ τὴν ἰδικήν μου τύχην) δὲν φροντίζω, ἂν θὰ φύγωμεν, ἀλλὰ διὰ τὴν συμφορὰν ἐκείνων κλαίω. εὐπίστως δὲ τοὐμὸν δαίμονας ἔχει σεβίσαι Ἀρφ. Θεσμ. 105 μὲ πολλὴν προθυμίαν ἐγὼ θέλω νὰ προσκυνήσω τοὺς θεούς — Καὶ πληθ. ὅταν δὲ τἄμ' ἀθυμήσαντ' ἴδῃς Εὐρ. Ὀρ. 296 σχεδὸν = ὅταν δ' ἐμὲ ἀθυμήσαντα ἴδῃς. ἐξ ἐμοῦ τἀμὰ μαθήσῃ κλύων Ἀπ. Εὐρ. 797 ἐξ ἐμοῦ ἀκούων θὰ μάθῃς τὰ ἐμά. καὶ πῶς γένοιτ' ἂν τἀμὰ κἀκείνων πικρά; Σοφ. Ο. Κ. 606 καὶ πῶς εἶνε δυνατὸν νὰ ἐπέλθῃ ἔχθρα μεταξὺ ἐμοῦ καὶ ἐκείνων; τὰ μὲν τοίνυν ὑμέτερα ἀκούειν, ὡς ἔοικεν, ἑτοῖμ' ἂν εἴη, τὰ δ' ἐμὰ βούλεσθαι μὲν ἕτοιμα, δύνασθαι δ' οὐ πάνυ ῥᾴδια Πλ. Νόμ. 643 Α ὑμεῖς μὲν τοίνυν ἀκούειν, ὡς ἔοικε, πρόθυμοι ἂν εἴητε· ἐγὼ δὲ τῷ μὲν βούλεσθαι ἑτοῖμός εἰμι (λέγειν), τῷ δὲ δύνασθαι οὐ πάνυ ῥᾴδιος (δυναίμην δ' ἂν οὐ πάνυ ῥᾳδίως). ἀλλ' ἀντ' ἀδελφοῦ δῆτα Μενέλεω κτανὼν τἄμ', οὐκ ἔμελλε τῶνδέ μοι δώσειν δίκην; Σοφ. Ἠλ. 538 ἀλλ' ἂν ἀντιπροσωπεύων τὸν ἀδελφὸν Μενέλαον ἐφόνευσε τὰ εἰς ἐμὲ ἀνήκοντα τέκνα, δὲν ἔπρεπε διὰ τὸν φόνον τοῦτον νὰ τιμωρηθῇ ὑπ' ἐμοῦ; συμφορᾶς γὰρ ἂν ἔξωθεν εἴην τῶν ἐμῶν γε φιλτάτων Σοφ. Ἠλ. 1449 ἰδ. ἔξωθεν. ἐγὼ γὰρ δή σοι λέγω τό γ' ἐμόν, ὅτι οὐ πείθομαι Πλ. Πολ. 345 Α ὅσον διὰ τὸν ἑαυτόν μου (ὅσον δι' ἐμὲ) δὲν πείθομαι. Καὶ πληρέστερον: κοὐ καμῇ τοὐμὸν μέρος Σοφ. Τρ. 1215 καὶ δὲν θὰ ἔχῃς νὰ παραπονεθῇς ἀπὸ ἐμὲ κατά γε τὴν ἐμήν Πλ. Πολιτικ. 277 Α κἀλλ. ἐνν. δόξαν (γνώμην). ἐὰν ἥ γ' ἐμὴ νικᾷ Νόμ. 862 Α ἐνν. γνώμη. — ἐνθυμηθήτω οὐ περὶ τῆς ἐμῆς (ἐνν. πατρίδος) μᾶλλον, ἐν ἴσῳ δὲ καὶ (περὶ) τῆς ἑαυτοῦ ἅμα ἐν τῇ ἐμῇ μαχούμενος Θουκ. 6,78. ἐμὴ ἀγγελία Τ 336 ἀγγελία περὶ ἐμοῦ. τὴν ἐμὴν αἰδῶ μεθεὶς Αἰσχ. Πέρσ. 701 ἀφήσας κατὰ μέρος τὴν πρὸς ἐμὲ εὐλάβειαν (συστολήν) σου. πάρος τοὐμοῦ πόθου προὔθεντο τὴν τυραννίδα; Σοφ. Ο. Κ. 419 προετίμησαν τὴν τυραννίδα τῆς πρὸς ἐμὲ ἀγάπης; Ὁμοίως Ο. Τ. 969. ἅπαντα γάρ σοι τἀμὰ νουθετήματα κείνης διδακτά, κοὐδὲν ἐκ σαυτῆς λέγεις Σοφ. Ἠλ. 343 ἰδ. διδακτός. τὰ δ' ἐμὰ δῶρα Κύπριδος (Dind.: Κύπρις) ἔτεκε πολὺ μὲν αἷμα πολὺ δὲ δάκρυον Εὐρ. Ἑλ. 363 τὰ δῶρα, τὰ ὁποῖα ἔκαμε πρὸς ἐμὲ ἡ Κύπρις, ἐγέννησαν (τ. ἔ. ἔκαμαν νὰ χυθῇ) πολὺ μὲν αἷμα, πολλὰ δὲ δάκρυα. μὴ γάρ σε θρῆνος οὑμὸς εἰς ἔχθραν βάλῃ Αἰσχ. Πρ. 404 μάλιστα, ἵνα μὴ ὁ ὑπὲρ ἐμοῦ οἶκτός σου ἐμβάλῃ σε εἰς ἔχθραν (πρὸς τὸν Δία). εὐνοίᾳ τῇ ἐμῇ (= τῇ εἰς ἐμέ) Ξεν. Κ. Π. 3, 1, 28. καὶ τὰ μὲν ἐς τὰς ἐμὰς διαβολὰς τοιαῦτα ξυνέβη Θουκ. 6, 90 καὶ ὡς πρὸς τὰς ἐναντίον μου διαβολὰς τοιαῦτα συνέβησαν. τὰς ἐμὰς Λαΐου διαφθοράς Σοφ. Ο. Τ. 572 τὰς ὑπ' ἐμοῦ γενομένας. Ὡς κατηγορούμ. τά τε τεκμήρια ἐμά, οὐ τούτου ὄντα ἐδήλωσα Ἀντιφ. Τετραλ. Α δ 10 ὅτι εἶνε ὑπὲρ ἐμοῦ ὄχι ὑπὲρ τούτου. ἐγὼ δ' ἐμός εἰμι Ἀπ. Εὐρ. 1005 (Priscian. Instit. 17, 110). Διόρθ. ὁ Cobet: ἐγὼ δ' ἐμὸς νῦν εἰμι τώρα ἀνήκω εἰς ἐμαυτόν. ἐγὼ γάρ εἰμι μόνος τῶν ἐμῶν ἐμός Ἀπ. Ἀπολλοδώρ. 21 (Terentius 4, 1, 21: nam ego meorum solus sum meus). πρῶτα μὲν παῖς ἀκόλουθός ἐστιν ἀλλότριος τὰ πολλά, μικρὸν δέ τι κἀμόν (Herm.: κάμον) αὐτοῦ Ἀπ. Εὐπόλ. 159 μικρὸν δέ τι μέρος (αὐτοῦ) καὶ ἐμοῦ αὐτοῦ ἐστι. Ὁ Bergk διόρθ. κἀμός: κατὰ μικρὸν δέ τι μέρος (ὁ παῖς) ἐστὶ καὶ ἐμοῦ αὐτοῦ: ἀνήκει καὶ εἰς ἐμὲ αὐτόν. Οὕτω τίθεται τὸ ἡμέτερος παρὰ Θουκ. 4, 10.

ἐμπάζομαι : ἐμῶν ἐμπάζεο μύθων α 271 φρόντιζε τῶν ἐμῶν λόγων.

ἐμπαίζω κυρ. παίζω ἔν τινι· πᾶσι τοῖς χοροῖσιν ἐμπαίζει Ἀρφ. Θεσμ. 975 = παίζει ἐν π. τοῖς χοροῖς. ὡς νεβρὸς χλοεραῖς ἐμπαίζουσα λείμακος ἡδοναῖς, ἡνίκ' ἂν φοβερὰν φύγῃ θήραν Εὐρ. Βάκ. 867 ὡς νεβρὸς παίζουσα ἐν ταῖς τέρψεσι τοῦ χλοεροῦ λειμῶνος, ὁπόταν ἐκφύγῃ τὴν φοβερὰν θήραν. Τὸ χλοερός, καθ' ὑπαλλαγήν, συνεφώνησε πρὸς τὸ ἡδοναῖς, δέον πρὸς τὸ λείμακος. ἄμαχος γὰρ ἐμπαίζει θεὸς Ἀφροδίτα Σοφ. Ἀντ. 798 διότι ἐν τοῖς ὄμμασι (τῆς νύμφης) ἀκαταμάχητος παίζει ἡ θεὰ Ἀφροδίτη: ἐκ τῶν ὀμμάτων τῆς νύμφης ὁρμωμένη ἡ θεὰ Ἀφροδίτη ἀσκεῖ ἀκαταμάχητον γόητρον. ἣ (Ἥρα) πᾶσι τοῖς χοροῖς ἐμπαίζει Ἀρφ. Θεσμ. 975 παίζει ἐν πᾶσι τοῖς χοροῖς: παρευρίσκεται εἰς ὅλους τοὺς χοροὺς μετέχουσα αὐτῶν.

ἔμπαιος 2 ἔμπειρος φ 400 || ἐμπαίων, αἰφνιδίως εἰσορμῶν· ἐμπαίοις τύχαισι συμπνέων Αἰσχ. Ἀγ. 197 συμφωνῶν (τ. ἔ. εἴκων) ταῖς ἐμπεσούσαις τύχαις. πολλὰ δὲ δείλ' ἔμπαια Ἀπ. Ἐμπεδ. 2 πολλὰ (κυρ ἐλεεινὰ) πράγματα ἐμπίπτουσιν εἰς (προσβάλλουσι) τὰς αἰσθήσεις.

ἐμπαίω (ἴδ. παίω) κυρ. παίω τι ἐντός, ἐνεργάζομαι· ἐμπαίει τί μοι ψυχῇ ξύνηθες ὄμμα Σοφ. Ἠλ. 902 παρουσιάζεται εἰς τὴν ψυχήν μου αἰφνιδίως κάποια συνηθισμένη εἰς αὐτὴν μορφή.

ἐμπάλαγμα τό, ἐμπλοκή· «ἐμπαλάγματα (Salmasius: ἐμπαλούγματα) αἱ ἐμπλοκαί» Ἡσύχ. Ὅθεν πιθανῶς διώρθ. ὁ Ἑρμάννος τἀμπαλάγματα ἐν Αἰσχ. Ἱκ. 301, ὅπερ ἐξηγεῖ ὁ Σχ. διὰ τοῦ «περιπλοκαί». ἴδ. ἄκρυπτος.

ἐμπαλάσσομαι ἐμπλέκομαι· ἐν ἕρκεσι ἐμπαλασσόμενοι Ἡρ. 7, 85 ἐμπλεκόμενοι ἐντὸς τῶν σχοινίων (τῶν βρόχων). περί τε τοῖς δορατίοις καὶ σκεύεσιν (= περιπίπτοντες τοῖς δορ. καὶ σκεύεσι τ. ἔ. ταῖς ἀποσκευαῖς). οἱ μὲν εὐθὺς διεφθείροντο, οἱ δὲ ἐμπαλασσόμενοι κα-

τέρρεον Θουκ. 7, 84 οἱ δὲ ἐμπερδευόμενοι παρεσύροντο ὑπὸ τοῦ ῥεύματος.

ἔμπαλιν: εἰ μὲν πέφηνεν ἐσθλά, δὸς τελεσφόρα· εἰ δ' ἐχθρά, τοῖς ἐχθροῖσιν ἔμπαλιν μέθες Σοφ. Ἠλ. 647 ἂν μὲν ἔχει ἐμφανισθῇ (ἡ ὀπτασία) ὡς εὐνοϊκή, κάμε νὰ ἐκπληρωθῇ· ἐὰν δὲ ὡς δυσμενής, ἄφες την τοὐναντίον νὰ πέσῃ ἐπάνω εἰς τοὺς ἐχθρούς. ἔμπαλιν λέγει Σοφ. Τρ. 358 ἐναντία λέγει. ὥσπερ οἱ ἔμπαλιν ὑποδούμενοι παραλλάξας Πλ. Θεαίτ. 193 C = κατὰ τὸν ἀντίστροφον τρόπον τ. ἔ. τὸ δεξιὸν ὑπόδημα θέσας εἰς τὸν ἀριστερὸν πόδα καὶ τἀνάπαλιν· ἴδ. ἐμβιβάζω. ἐγὼ γνώμην ἔχω περὶ τοῦ προκειμένου πρήγματος τὰ ἔμπαλιν ἢ οὗτοι Ἡρ. 1, 207 ἐγὼ ἔχω γνώμην περὶ τοῦ προκ. πρ. ἐναντίαν ἢ οὗτοι. οὐκ ἔσθ' ὁποίῳ φαρμάκῳ διαφθερεῖν (ἐνν. ταῦτα τὰ φρονήματα) ἔμελλον, ὥστε τοὔμπαλιν πεσεῖν φρενῶν Εὐρ. Ἱππ. 390 κυρ. ἐμπεσεῖν εἰς τὴν ἐναντίαν γνώμην, ὥστε νὰ ἔλθω 'ς τὰ καλά μου. καί τιν' ἀελπτίᾳ βαλὼν ἔμπαλιν γνώμας τὸ μὲν δώσει, τὸ δ' οὔπω Πινδ. Π. 12, 31 ἴδ. ἀελπτία. ἐμοὶ δοκοῦσιν οὗτοι τοὔμπαλιν οὗ βούλονται ἐφέλκεσθαι Ξεν. Κ. Π. 8, 4, 32 εἰς ἐμὲ φαίνονται οὗτοι, ὅτι ἀποκτῶσι (κυρ. ἐπισύρουσι) φήμην ἐναντίαν ἐκείνης, τὴν ὁποίαν ἐπιθυμοῦσιν. ἔμπαλιν ὅσσοισιν πυρὶ λαμπομένοισι δεδορκώς Ἡσ. Ἀσπ. 145 πρὸς τὰ ὀπίσω διὰ πυριλαμπῶν ὀφθαλμῶν βλέπων. Πόλλ' ἂν γένοιτο καὶ διὰ ψευδῶν ἔπη.— Καὶ τἄμπαλίν γε τῶνδ' ἀληθείᾳ (Kirchhoff: ἀληθείας) σαφῆ Εὐρ. Ἑλ. 310 πολλὰ ἔπη γένοιτ' ἂν (δύνανται νὰ ὑπάρξουν) καὶ διὰ ψευδῶν (κεχωρηκότα, διεληλυθότα: «καὶ μὲ τὰ ψέμματα»). Ναί, ἀλλὰ καὶ τὰ ἐναντία τούτων (γένοιτ' ἄν), δηλ. διὰ τῆς ἀληθείας σαφῆ (ἔπη)· τ. ἔ. ὅπως δύνανται νὰ ὑπάρξουν ψευδεῖς λόγοι, οὕτω καὶ ἀληθεῖς. τἄμπαλιν δὲ τῶνδε γαίας κάτοχα μαυροῦσθαι σκότῳ Αἰσχ. Πέρσ. 226 τἀναντία δὲ τούτων (δηλ. τὰ κακὰ) κατεχόμενα ὑπὸ τῆς γῆς ν' ἀφανίζωνται ἐν τῷ σκότει. οὔποτ' ἐκβαλῶ χάριν τὴν τοῦδε, χώρᾳ δ' ἔμπαλιν (ἔμπολιν Musgrave) κατοικιῶ Σοφ. Ο. Κ. 637 θὰ ἐγκαθιδρύσω (θὰ δώσω αὐτῷ ἄσυλον) αὐτὸν ἐν τῇ χώρᾳ πρὸς ἀποζημίωσιν (ἀπέναντι τῆς χάριτος, ἥν μοι παρέχει). ἐξελθόντες προσέβαλον τῷ τείχει τῶν Πελοποννησίων ἐκ τοὔμπαλιν ἢ οἱ ἄνδρες αὐτῶν ὑπερέβαινον Θουκ. 3, 22 ἐκ τοῦ ἀντιθέτου μέρους ἀπὸ ἐκεῖνο, τὸ ὁποῖον ὑπερέβαινον οἱ ἄνδρες αὐτῶν. Ὁμοίως Ἡρ. 1, 207. 9, 56.

ἐμπαρέχω κυρ. παρέχω ἔν τινι, παρέχω εἴς τινα εὐκαιρίαν νά —· τὴν πόλιν ἐμπαρασχόντες προκινδυνεῦσαι Θουκ. 7, 56 παρασχόντες ἐν αὐτῷ (δηλ. τῷ ἀγῶνι) ἀφορμὴν εἰς τὴν πόλιν νὰ προκινδυνεύσῃ ἐν τῷ ἀγῶνι τούτῳ (ὑπὲρ τῶν ἄλλων). Παρομοίως 6, 12. τὸν γοῦν (ἐγώ: οὖν) τόπον, ἐν ᾧ γυμνάζονται πάντες οἱ ἀθληταί, καὶ (τὸν καὶ προσέθηκα) παλαίστραν καλοῦσι, τῆς πάλης τοὔνομα κτησαμένης τὸ πρῶτον εἶτα καὶ τοῖς αὖθις ἐφευρεθεῖσιν ἐμπαρασχεῖν Πλουτ. 638 C τ. ἔ. ὁ τόπος —, ἐπεὶ καὶ ἡ πάλη τοὔνομα ἐκτήσατο τὸ πρῶτον, εἶτα ἐμπαρέσχε τοὔνομα καὶ τοῖς αὖθις ἐφ. Ἡ μτχ. κτησαμένης διορίζει τὸ ἐμπαρασχεῖν.

ἐμπαρίημι: ἐν τῷ χωρίῳ τοῦ Πλουτ. 298 A ταῖς πύλαις ἐμπαρέντος (τοῦ δόρατος) τὸ ἐμπαρέντος εἶνε παθ. ἀόρ. β' τοῦ ἐμπείρω (ὄχι τοῦ ἐμπαρίημι).

ἐμπαροινέω ἐν παροινίᾳ, ἐν κραιπάλῃ ὢν ὑβριστικῶς, ἀπρεπῶς, μεταχειρίζομαί τινα· ἐνυβρίζω τινί. ἐμπαροινήσει Λουκ. Τίμ. 14 θὰ διασκεδάσῃ καλὰ ἐν μέθῃ καὶ κραιπάλῃ διατελῶν.

ἔμπας, Ἰων. καὶ ἐπ. ἔμπης, καθόλου, ἐν γένει, εἰς πᾶσαν περίπτωσιν (ἐν πᾶσι). νῦν δ' — ἔμπης γὰρ Κῆρες ἐφεστᾶσιν θανάτοιο μυρίαι Μ 326 πάντως (ἄλλοι: οὐδὲν ἧττον) ἐπαπειλοῦσι μοῖραι θανάτου κλ. νῦν δὲ χρὴ τετλάμεν ἔμπης γ 209 τώρα ὅμως (τ. ἔ. τούτων οὕτως ἐχόντων) εἶμαι ὑποχρεωμένος νὰ ὑποφέρω οὐδὲν ἧττον (τ. ἔ. μ' ὅλον ὅτι ὑπερεπιθυμῶ νὰ ἐκδικηθῶ). ἔμπας τις αὐτὴν ἄλλος ὤφελεν λαχεῖν Αἰσχ. Πρ. 48 πάντως (οὐδὲν ἧττον) ἄλλος τις ὤφελε κέ. ἔμπας ξυμμάρτυρας ὔμμ' ἐπικτῶμαι Σοφ. Ἀντ. 845 (καίπερ ὑβριζομένη) ὅμως καλῶ ὑμᾶς συμμάρτυρας. Κατ' ἄλλους τὸ ἔμπας σημ. πάντως ἢ γοῦν. Ἀπ. οὐδ' ἂν δεχοίμην ὥστ' ἔχειν τιμὰς σέθεν. Χο. Μέγας γὰρ ἔμπας παρὰ Διὸς θρόνοις λέγῃ Αἰσχ. Εὐμ. 229 καὶ χάρισμα δὲν θέλω νὰ ἔχω τὸ (τιμητικόν σου) ἀξίωμα. (Δὲν τὸ θέλεις), διότι καὶ ἄνευ αὐτοῦ (πάντως) μέγας λέγεσαι πλησίον τοῦ θρόνου τοῦ Διός. Συνήθως μετὰ τοῦ ἀλλὰ ἢ δέ: νῦν δ' ἤδη πάντα λέλοιπεν· ἀλλ' ἔμπης καλάμην γέ σ' ὀΐομαι εἰσορόοντα γιγνώσκειν Ξ 213 τώρα δὲ πλέον ὅλα ἐκεῖνα (τὰ πλεονεκτήματα τὰ συναποτελοῦντα τὴν ἀρετὴν) μὲ ἔχουν ἐγκαταλείψῃ ἀλλ' οὐχ ἧττον νομίζω ὅτι καὶ μόνον τὸ ἄχυρον («τὴν καλαμηά») βλέπων ἐννοεῖς πάντα τ. ἔ. τὴν προηγουμένην μου ἀρετήν: ὁποῖος ἤμην πρότερον· «ἀλλ' ὅμως καὶ τὸ λείψανόν σε ὁρῶντα τοῦ σώματος οἴομαι ἐπιγιγνώσκειν, οἷος ἤμην ἀκμάζων ἐγὼ καὶ εὐσθενῶν» Ἀρίσταρχος. ἀλλὰ καὶ ἔμπης αἰσχρόν τοι δηρόν τε μένειν κενεόν τε νέεσθαι Β 297 «ἀλλ' ὅμως καὶ οὕτω τοῦ πράγματος ἔχοντος ἀπρεπὲς (μᾶλλον: ὄνειδος) ἔστιν ἐπὶ πολὺν χρόνον μένειν τινὰ εἶτα ἄπρακτον ἀπέρχεσθαι» Γαζῆς. σὺ δὲ χαῖρε καὶ ἔμπης ε 205 σὺ δὲ καὶ μ' ὅλα ταῦτα χαῖρε. Καὶ μετὰ τοῦ πέρ: ὄφρα μὲν οὖν δὴ κείνη ἔην, ἀχέουσά περ ἔμπης ο 361 ἕως μὲν οὖν ἐκείνη καίπερ λυπουμένη ἔζῃ ὅμως. ὅς δέ κε... καὶ τεθνηῶτά περ ἔμπης Τρῶας ἐς ἐρύσῃ Ρ 229 ὅς δ' ἂν Πάτροκλον καίπερ τεθνεῶτα ἑλκύσῃ ὅμως εἰς Τρῶας. Νέστορα δ' οὐκ ἔλαθεν ἰαχή, πίνοντά περ ἔμπης Ξ 1 καίπερ πίνοντα οὐκ ἔλαθεν ὅμως. ἄλγεα δ' ἔμπης ἐν

θυμῷ κατακεῖσθαι ἐάσομεν ἀχνύμενοί περ Ω 522 τὰς δὲ λύπας καίπερ λυπούμενοι ἐάσομεν (ἢ -σωμεν) ὅμως κατακεῖσθαι. Παρὰ Σοφ. Αἴ. 563 ἐπακολουθεῖ κεῖ, παρὰ δὲ Πινδ. Ν. 4, 36 καίπερ. Πρβ. Ξ 174 τοῦ (ἐλαίου) καὶ κινυμένοιο Διὸς κατὰ χαλκοβατὲς δῶ, ἔμπης ἐς γαῖάν τε καὶ οὐρανὸν ἵκετ' ἀϋτμή τούτου (τοῦ ἐλαίου) καίπερ ταραττομένου κατὰ τὸ χαλκοῦν οὐδὸν ἔχον δῶμα τοῦ Διός, ὅμως εἴς τε τὴν γῆν καὶ τὸν οὐρανὸν ἀφίκετο ἡ εὐωδία. Κατ' Ἀρίσταρχον τὸ ἔμπης ἐνταῦθα = ὁμοίως, ὡς καὶ ἐν τῷ ἑξῆς· ἔμπης μοι δοκέει δαΐδων σέλας ἔμμεναι αὐτοῦ καὶ (Δ. Γ. κὰκ) κεφαλῆς σ 354 «ὁμοίως μοι δοκεῖ εἶναι τὸ σέλας τῶν δᾴδων καὶ (τὸ σέλας) τῆς κεφαλῆς αὐτοῦ» Σχ. (Ἀρίσταρχος). Ἴσως ὀρθότερον κατὰ τὴν γρ. κὰκ κεφαλῆς ὧδε: ἀλλ' ὅμως (δὲν ἀπατῶμαι βεβαίως) ἐκ τῆς κεφαλῆς αὐτοῦ (κυρ. κάτω ἀπὸ τὴν κεφαλήν του) φαίνεται ὅτι προέρχεται φῶς (λάμψις) δᾴδων. ἔμπης μοι τοῖχοι μεγάρων... φαίνοντ' ὀφθαλμοῖς ὡς εἰ πυρὸς αἰθομένοιο τ 37 μὰ (παράξενο πρᾶγμα! ἢ: δὲν ἀπατῶμαι βέβαια) οἱ τοῖχοι μοῦ φαίνονται, ὡς νὰ λάμπουν ἀπὸ φωτιά.

ἐμπατέω ἐντός τινος πατῶ, βαδίζω· οὔ μοι φόβου (φόνος Voss) μέλαθρον ἐλπὶς ἐμπατεῖ Αἰσχ. Ἀγ. 1435 δι' ἐμὲ ἡ προσδοκία φόβου δὲν εἰσέρχεται (κυρ. δὲν πατεῖ τὸ πόδι της μέσα) εἰς τὸν οἶκόν μου.

ἐμπεδόμοχθος βίος «διηνεκῶς μοχθηρός» Σχ. ἔμπεδον τὸν μόχθον ἔχων.

ἔμπεδος 2 «ἐν τῷ πέδῳ ἑστώς», στερεός, ἀμετακίνητος, ἀνέλεγκτος, βεβαιότατος. ἔμπεδον λέχος Ψ 203 τὸ ἀκατάσειστον καὶ ἐπὶ τῆς παλαιᾶς ἕδρας ἑστώς. τίκτει δ' ἔμπεδα μῆλα Τ 113 γεννοῦν δὲ τὰ πρόβατα τακτικὰ (ἀσφαλῶς καθ' ἕκαστον ἔτος). τῇ δ' ἔτι μᾶλλον ὑφ' ἵμερον ὦρσε γόοιο, σήματ' ἀναγνούσῃ, τά οἱ ἔμπεδα πέφραδ' Ὀδυσσεύς Τ 250 εἰς ταύτην δ' ἔτι μᾶλλον διήγειρε τὴν ἐπιθυμίαν κλαυθμοῦ, ὅταν ἀνεγνώρισε τὰ σημεῖα, τὰ ὁποῖα ἔδειξεν εἰς αὐτὴν ἀπαράλλακτα ὁ Ὀδ. πλοῦτον δ' ὃν μὲν δῶσι θεοί, παραγίγνεται ἀνδρὶ ἔμπεδος ἐκ νεάτου πυθμένος εἰς κορυφήν Σόλων Ἀπ. 13, 9 ὁ ἐκ τοῦ θεοῦ δοθεὶς πλοῦτος παραμένει διαρκὴς (σταθερὸς) εἰς τὸν ἄνθρωπον ἐκ τοῦ κατωτάτου πυθμένος μέχρι τῆς κορυφῆς. ἐξ οὐρανοῦ δὲ κἀπὸ γῆς λειμώνιαι δρόσοι κατεψέκαζον ἔμπεδον σίνος ἐσθημάτων τιθέντες ἔνθηρον τρίχα Αἰσχ. Ἀγ. 565 ἐκ τοῦ οὐρανοῦ δὲ οἱ ὄμβροι ὡς καὶ ἐκ τῆς γῆς αἱ δρόσοι τοῦ λειμῶνος κατέβρεχον ἡμᾶς. Τοῦτο δὲ ἐν ᾧ ἦτο ἀδιάκοπος βλάβη τῶν ἐνδυμάτων ἡμῶν, καθίστα τὸ σῶμα ἡμῶν ἔνθηρον (πλῆρες φθειρῶν)· τ. ἔ. ἡ μὲν βροχὴ καὶ ἡ δρόσος ἐσάπιζον τὰ φορέματά μας, ἡ δὲ σῆψις αὐτῶν ἐπλήρου ἡμᾶς φθειρῶν. Οὕτως ἑρμηνεύω ἐγὼ τὸ δύσκολον χωρίον. Ἡ δὲ σύνταξις ἀνώμαλος· τὸ μὲν ἔμπεδον σίνος εἶνε παράθεσις εἰς τὴν προηγ. ἔννοιαν, τὸ δὲ τιθέντες κατὰ τὸ νοούμενον τεθὲν συνετάχθη πρὸς τὸ νοούμενον ὄμβροι. Τὸ δὲ τρίχα ἀναφ. εἰς ὅλον τὸ σῶμα.— οὐκέτι συντρόφοις ὀργαῖς ἔμπεδος, ἀλλ' ἐκτὸς ὁμιλεῖ Σοφ. Αἴ. 639 δὲν ἐμμένει σταθερὸς ἐν τοῖς συνηθισμένοις (κυρ. σὺν οἷς ἀνετράφη) τρόποις, ἀλλ' ἐκτὸς αὐτῶν ἀναστρέφεται. εἰδὼς ἀμφὶ τοὺς κείνων παῖδας μένοντας ἐμπέδοις φρονήμασιν Σοφ. Ἀντ. 168 ἴδ. ἀμφί. Δαναοὶ Τρῶας μένον ἔμπεδον Ε 527 ὑπέμενον τοὺς Τρ. σταθερῶς. ὥστε στήλη μένει ἔμπεδον Ρ 434 ὅπως στήλη μένει σταθερῶς εἰς τὸν τόπον της. ὁ δ' ἔμπεδον ἀσφαλὲς αἰεὶ θρῴσκων ἄλλοτ' ἐπ' ἄλλον ἀμείβεται Ο 683 οὗτος δὲ σταθερῶς, χωρὶς νὰ κάμῃ σφάλμα, πάντοτε ἐμπρὸς πηδῶν ἄλλοτε εἰς ἄλλον μεταβαίνει. ἡ δὲ μάλ' ἀσφαλέως θέεν ἔμπεδον ν 86 ἡ δὲ (ναῦς) οὐδόλως ταλαντευομένη ἔτρεχε σταθερῶς (ἀσφαλῶς) πρὸς τὸν σκοπόν της. ἐμπέδως ἔχειν Αἰσχ. Εὐμ. 336 ἴδ. αὐτουργία.

ἐμπεδοσθενής 2 ἔμπεδον σθένος ἔχων, «ἀσφαλὴς καὶ ἀδιάπταιστος» Σχ. -βίοτος Πίνδ. Ν 7, 98.

ἐμπεδόω: παρατ. ἠμπέδουν Ξεν. Κ. 8, 8, 2. ἐνεπέδωσα Δ. Κάσσ. 60, 28. κυρ. στηρίζω ἐν τῷ πέδῳ (εἰς τὸ ἔδαφος), ποιῶ τι ἔμπεδον, στερεώνω. οἱ μὲν ἄλλοι πάντες ὤμνυσαν ἐμπεδώσειν ταῦτα Ξεν. Ἑλλ. 5, 1, 32 ὡρκίζοντο ὅτι θὰ διατηρήσωσι ταῦτα. ὑμεῖς δ' ἐπομεῖσθε ταὐτὰ κἀμπεδώσετε Ἀρφ. Λυσ. 211 ὑμεῖς δὲ κατόπιν θὰ ὁρκισθῆτε τὰ ἴδια καὶ θὰ διαφυλάξητε τὸν ὅρκον σας.

ἐμπειρία ἡ, ἡ ἐκ τῆς πείρας γνῶσις, κατ' ἀντίθ. πρὸς τὴν θεωρίαν καὶ ἐπιστήμην. ὃ (τ. ἔ. ἡ ὀψοποιική) δοκεῖ μὲν εἶναι τέχνη, ὡς δ' ὁ ἐμὸς λόγος, οὐκ ἔστι τέχνη ἀλλ' ἐμπειρία καὶ τριβή Πλ. Γοργ. 463 Β καθὼς ἐγὼ λέγω, δὲν εἶνε τέχνη, ἀλλὰ γνῶσίς τις ἐπὶ τῆς πείρας στηριζομένη καὶ ἄσκησις ἄλογος (ἧς δὲν δύναταί τις νὰ δώσῃ λόγον) ἴδ. τριβή. ἰατρὸς τῶν ταῖς ἐμπειρίαις ἄνευ λόγου τὴν ἰατρικὴν μεταχειριζομένων Νόμ. 857 C ἰατρὸς ἐξ ἐκείνων, οἵτινες ἐξασκοῦσι τὴν ἰατρικὴν ἐμπειρικῶς, χωρὶς νὰ δίδωσι λόγον. λέγων οὐδὲ ἐκείνους πάτριον τὴν ἐμπειρίαν οὐδὲ ἀΐδιον τῆς θαλάσσης ἔχειν Θουκ. 7, 21 ἴδ. ἀΐδιος. οὐκ ἀντιτιθέντες τὴν Ἀθηναίων ἐκ πολλοῦ ἐμπειρίαν τῆς σφετέρας δι' ὀλίγου μελέτης Θουκ. 2, 85 ἐν ᾧ δὲν ἀντέτασσον (κυρ. οὐκ ἀντετίθεσαν: δὲν ἔθετον ἀπέναντι) τὴν πολυχρόνιον πεῖραν τῶν Ἀθ. πρὸς τὴν ἰδίαν αὐτῶν βραχυχρόνιον ἄσκησιν. Ἡ γεν. δυνάμει τῆς ἀντι-

ἔμπειρος: ἔφυγον διὰ τῆς πόλεως, ἄπειροι μὲν ὄντες οἱ πλείους ἐν σκότῳ καὶ πηλῷ τῶν διόδων, ᾗ χρὴ σωθῆναι..., ἐμπείρους δὲ ἔχοντες τοὺς διώκοντας τοῦ μὴ ἐκφεύγειν Θουκ. 2, 4 ἐν ᾧ οἱ μὲν περισσότεροι «μέσα εἰς τὸ σκότος καὶ τὴν λάσπην» δὲν ἐγνώριζον τὰς διόδους, δι' ὧν ἔπρεπε νὰ σωθῶσι· οἱ δὲ καταδιώκον-

τες αὐτοὺς τὰς ἐγνώριζον, ὥστε νὰ μὴ διαφεύγωσιν ἐκεῖνοι.

ἐμπελάζω πλησιάζω, πλησίον φέρω· δίφρους ἐμπελάσαντες Ἡσ. Ἀσπ. 109 πλησιάσαντες (πλησίον ἀγαγόντες) τοὺς δίφρους πρὸς μάχην. ποῦ δ' ἐμπελάζεις τἀνδρί; Σοφ. Τρ. 748 = ἐν τίνι τόπῳ ὄντι τἀνδρὶ πελάζεις αὐτῷ; Πκθ. ἀεὶ κατθανεῖν ἐπηυχόμην πρὶν τοῦδε (τῆσδε χ/φα) κοίτης ἐμπελασθῆναι Σοφ. Τρ. 17 πρὶν πλησιάσω εἰς ταύτην ἐδῶ (ἢ τούτου ἐδῶ τοῦ μνηστῆρος) τὴν κοίτην μέσα.

ἐμπεριπατέω κυρ. ἔν τινι (= φορῶν τι) περιπατῶ· ὠνουμενος χρυσοῦς ἐμβάτας, οἷς μόλις ἄν τις καὶ ἀρτίπους ἐμπεριπατήσειεν Λουκ. π Ἀπαιδ. 6 μὲ τοὺς ὁποίους (τοὺς ὁποίους φορῶν) μόλις θὰ ἠδύνατό τις νὰ περιπατήσῃ καὶ ἀρτίους ἔχων τοὺς πόδας. ἐμπεριπατῶν ἅμα τῷ συμποσίῳ Συμπ. 13 περιπατῶν ἅμα ἐν τῷ συμποσίῳ (ἐν τῷ τόπῳ, ἐν ᾧ τὸ συμπόσιον). || καταπατῶ τινα, καταγελῶ· ὅλῳ τῷ μυκτῆρι χρῆται, καθάπερ ὁ Στρουθίας ἐμπεριπατῶν τῷ Βίαντι (Δ. Γ. Βύαντι = μπούφῳ) καὶ κατορχούμενος τῆς ἀναισθησίας αὐτοῦ τοῖς ἐπαίνοις Πλουτ. 57 A ὅλην τὴν εἰρωνείαν του μεταχειρίζεται (ἐναντίον τοῦ ἀγροίκου καὶ εὐπαρύφου) ὅπως ὁ Στρουθίας, ὅστις ποδοπατεῖ τὸν Βίαντα (οὐδὲν ἐννοοῦντα) καὶ περιπαίζει αὐτὸν διὰ τῶν ἐπαίνων, ἐπωφελούμενος ἐκ τῆς ἀναισθησίας αὐτοῦ. Ἀλλὰ κυρ. ὅστις κάμνει περίπατον ἐπάνω του καὶ χορεύει, ἐν ᾧ ἐκεῖνος οὐδὲν ἐννοεῖ. οὐ πάνυ ῥᾳδίως ἐμπεριπατεῖν τοῖς κόλαξιν ἑαυτοὺς παρέξομεν 65 F κυρ. δὲν θ' ἀφήσωμεν πολὺ εὔκολα τοὺς κόλακας νὰ κάμνουν περίπατον ἐπάνω μας (δηλ. νὰ νομίζωσιν, ὅτι ἐξαπατῶσιν ἡμᾶς διὰ τῶν κολακειῶν των).

ἐμπεσεῖν ἴδ. ἐμπίπτω.

ἐμπετάννυμι: οἱ τοῖχοι διαχρύσοις ἐμπεπετασμένοι ὕφεσι Ἀθην. 4, 147 σκεπασμένοι μὲ διαχρ. τάπητας. κυρ. ἐφ' ὧν ἦσαν ἐξηπλωμένοι διάχρ. τάπητες.

ἐμπήγνυμι: λόγχη τις ἐμπέπηγέ μοι δι' ὀστέων ὀδυρτὰ (-τή) Ἀρφ. Ἀχ. 1226 λόγχη τις μοῦ ἔχει ἐμπηχθῇ διὰ μέσου τῶν ὀστέων μὲ ἀξιοθρήνητον τρόπον (ἢ «θρῆνον ἐμποιοῦσα καὶ ὀδυρμόν» Σχ.). ἔν τί σοι παγήσεται Σφ. 437 θὰ σοῦ μπηχθῇ, θὰ σοῦ μπῇ κάτι τι. Μτφ. ἐμπέπηγα τῷ διακονεῖν Διφίλ. Ἀπ. 43, 25 (Ἀθ. 292 A) ἔγινα ἀφωσιωμένος ὑπηρέτης του.

ἐμπίμπλημι (ἐμπίπλημι) ἴδ. πίμπλημι. ἐμπίπληθι ῥέεθρα ὕδατος Φ 311 πλήρου τὰ ῥεῖθρα ὕδατος. ἡμῖν ἐκκεκώφωκε τὰ ὦτα καὶ ἐμπέπληκε Λύσιδος Πλ. Λυσ. 204 C μᾶς ἐξεκούφανε τ' αὐτιὰ καὶ τὰ ἐγέμισε μὲ τὸ ὄνομα τοῦ Λύσιδος. ἐμπιμπλὰς ἁπάντων τὴν γνώμην ἀπέπεμπε Ξεν. Ἀν. 1, 7, 8 ἐκπληρῶν τὰς ἐλπίδας πάντων (εὐχαριστῶν ὅλους: «κάμνοντας ὅλωνῶν τὴν καρδιά») τοὺς ἀπέπεμπε. τὴν ἀναιδῆ γνώμην ἐνέπλησεν ἑαυτοῦ Δημ. 21, 91 εὐχαρίστησε τὴν ἀναίδειάν του. βλέπουσά τ' εἰς πᾶν καὶ παροῦσα πανταχοῦ τὴν ὄψιν ἐμπλήσασ' ἀπήλλακται κακῶν Ἀπ Εὐρ. 1063 ἀφ' οὗ χορτάσῃ τοὺς ὀφθαλμούς της διὰ τῆς θέας πάντων καὶ τῆς πανταχοῦ παρουσίας της, εἶνε ἀπηλλαγμένη τῶν κακῶν. ἔνθ' ἄλλοι μὲν πάντες ἐνέπλησάν τ' ἔδοσάν τε ρ 503. Πληρέστερον ἐν 411: οἱ δ' ἄλλοι πάντες δίδοσαν, πλῆσαν δ' ἄρα πήρην σίτου καὶ κρειῶν. Ἄλλοι ἐνν. εἰς τὸ ἐνέπλησαν ὄχι τὸ πήρην ἀλλὰ τὸ αὐτόν τ. ἔ. ἐκόρεσαν. Συχνὰ καὶ παθ. καὶ μέσ. πόλις δ' ἔμπλητο ἀλέντων Φ 607 ἡ δὲ πόλις ἐπληρώθη αὐτῶν ἀθροισθέντων. οὗτοι σὸν βλέπων ἐμπίπλαμαι πρόσωπον Εὐρ. Ἴων 925 δὲν χορταίνω νὰ βλέπω τὸ πρόσωπόν σου. εὖ γ' οἷον ἤδη ῥηματίων ἐμπίπλαμαι Ἀρφ. Ἀχ. 447 ὁ Δικαιόπολις φαντάζεται, ὅτι ἅμα λαβὼν τὰ ῥάκη καὶ τὸ πιλίδιον γίνεται ἄλλος Τήλεφος καὶ πληροῦται τῶν γνωμιδίων τοῦ Εὐριπίδου. Πρβ. Βάτρ. 64. ἀπολαύων καὶ ἐμπιπλάμενος τῆς διδομένης ὑφ' ὑμῶν αὐτῷ ἐξουσίας Αἰσχ 3, 130 ἀπολαύων καὶ κατὰ κόρον μεταχειριζόμενος (καταχρώμενος) τὴν δεδομένην ὑφ' ἡμῶν εἰς αὐτὸν ἐξουσίαν ὁ τοῦ σώματος ἐρῶν καὶ τῆς ὥρας καθάπερ ὀπώρας πεινῶν ἐμπλησθῆναι παρακελεύεται ἑαυτῷ Πλ. Νόμ. 837 C ὁ ἀγαπῶν τὸ σῶμα καὶ ἐπιθυμῶν ν' ἀπολαύσῃ τὴν ὡραιότητα αὐτοῦ ὡσὰν ὀπώραν προτρέπει ἑαυτὸν νὰ κορεσθῇ αὐτῆς. Ὑπάρχει λογοπαίγνιον τῆς ὥρας καὶ τῆς ὀπώρας. Διαρραγείης μηδενὸς γ' ἐμπλήμενος (ἐμπεπλησμένος) Ἀρφ. Πλ. 892 νὰ σκάσῃς ποῦ δὲν ἐχόρτασες μὲ τίποτε. μένεος ἐμπλήσατο θυμὸν ἀγρίου Χ 312 «εὐθαρσίας ἐνέπλησε τὴν ψυχὴν φοβερᾶς» (Γαζῆς). τὴν ψυχὴν ἐμπλησάμενος Διοπείθους Ἀρφ. Σφ. 381 ἀφ' οὗ ἀναλάβῃς ὅλον τὸ θάρρος καὶ τὸ μένος τοῦ Διοπείθους (ῥήτορος γνωστοῦ διὰ τὴν μανίαν καὶ παραφοράν). Κατ' ἄλλους ἐτυμολογικῶς: ἀφ' οὗ πληρώσῃς τὴν ψυχήν σου τῆς εἰς τὸν Δία πεποιθήσεως. οὐδέ περ υἷος ἐνιπλησθῆναι... ὀφθαλμοῖσιν ἔασε λ 452 οὐδὲ τὸ παιδί μου νὰ χορτάσω μὲ τὰ μάτια μου ἄφησε. θαλέων ἐμπλησάμενος κῆρ Χ 504 «παντοίων ἐδεσμάτων ἐμπλήσας τὴν ψυχὴν» (Γαζῆς). ἐγὼ βάλλων ἐκεῖνον οὐκ ἂν ἐμπλήμην λίθοις Ἀρφ. Ἀχ. 236 οὐκ ἂν «κορεσθείην» λιθοβολῶν ἐκεῖνον. ἔμπλησο λέγων Σφ. 603 λέγε ὅσα θέλεις. ὅσα ἔσοιτο ὑπισχνούμενος οὐκ ἐνεπίμπλασο Ξεν. Ἀν. 7, 7, 46 δὲν ἐχόρταινες νά μοι ὑπόσχεσαι πόσα (ὠφελήματα) θὰ ἔχω. ὀργῆς καὶ μένους ἐμπλήμενος Ἀρφ. Σφ. 424 ἀφ' οὗ κάθε ἕνας ἐξ ἡμῶν γεμίσῃ τὸν ἑαυτόν του μὲ ὀργὴν καὶ δύναμιν. τῆς φακῆς ἐμπλήμενος 984 γεμίσας τὴν κοιλιάν μου μὲ τὴν φακῆν. ἐνέπλητο ἐν τῷ σκότῳ 911 «τὴν ἐγέμισε 'ς τὰ σκοτεινά».

ἐμπίμπρημι καίω τι διὰ πυρός, πυρπολῶ· μὴ δὴ πυρὸς αἰθομένοιο νῆας ἐνιπρήσωσι Π 82 ἴδ. ἐμπρήθω.

ἐμπίνω: ὡς τοὐμπιεῖν γε καὶ φαγεῖν τοὐφ' ἡμέραν, Ζεὺς οὗτος ἀνθρώποισι τοῖσι σώφροσι Εὐρ. Κύκλ.

ἐπιστολή ἡ: σοὶ δὲ χρὴ μέλειν ἐπιστολάς, ἅς σοι πατὴρ ἐφεῖτο Αἰσχ. Πρ. 3 σὲ δὲ χρὴ φροντίζειν τῶν ἐντολῶν, ἃς σοι ὁ πατὴρ ἐνετείλατο. εἴσω στέγης χωρῶμεν, ὡς λόγων ἐπιστολάς (κυρ. ἐπιστολὰς ἐκ λόγων τ. ἔ. παραγγελίας προφορικάς) φέρῃς Σοφ. Τρ. 493 εἰσερχώμεθα εἰς τὸν οἶκον, ἵνα καὶ προφορικὰς παραγγελίας φέρῃς πρὸς αὐτόν. τάσδ' ἐπιστολὰς πατρὶ ταχεῖ ἐπόρευσαν σὺν χρόνῳ Ο. Κ. 1602 ταχέως ἐξετέλεσαν τὰς διαταγὰς ταύτας τοῦ πατρός. οὐχ ἑκὼν ἄγω σε Πενθέως δ' ὅς μ' ἔπεμψ' ἐπιστολαῖς Εὐρ. Βάκ. 442 οὐκ ἄγω σε ἑκών, ταῖς ἐντολαῖς δὲ Πενθέως, ὅς ἔπεμψέ με. —Μετὰ γεν. ἀλλ' ἤ λέχους μοι καὶ τέκνων ἐπιστολὰς ἔγραψεν ἡ δύστηνος ἐξαιτουμένη Εὐρ. Ἱππ. 858 ἀλλὰ βεβαίως μοὶ ἔγραψεν ἡ δύστηνος ἐπιστολιμαίους ἐντολάς, παρακλητικῶς, περὶ τοῦ λέχους («ἵνα μὴ ἄλλην μνηστεύσωμαι» Σχ.) καὶ περὶ τῶν τέκνων. Κατ' ἀρχὰς λοιπὸν ἐπιστολή ἦτο κυρ. ἡ ἐντολή, παραγγελία, ἣν διά τινος (παρόντος) μετέδιδον εἰς τὸν ἀπόντα, εἶτα δὲ μετὰ τὴν διάδοσιν τῆς γραφῆς ἔγινεν ὅ τι ἡ σημερινὴ ἐπιστολή.

ἐπιστολιμαίους δυνάμεις Δημ. 4, 19 = στρατεύματα μόνον ἐν τῷ χάρτῃ ὑπάρχοντα, οἷον «χάρτινα».

ἐπιστρατεύω στρατεύω ἐπί τινα. Ἀπολ. ἐπεστράτευσα πολλὰ σὺν πολλῷ στρατῷ Αἰσχ. Πέρ. 782 ἐποιησάμην πολλὰς ἐπιστρατείας σὺν π. στρατῷ. Ἴωσι Κῦρος ἐπεστράτευσε Θουκ. 1, 16 ἐναντίον τῶν Ἰώνων ἐξεστράτευσεν ὁ Κ. τίς δ' ἂν κλύοι σου πατρίδ' ἐπεστρατευμένου; Εὐρ. Φοίν. 606 τίς δ' ἂν ἀκούσειέ σου, ὃς ἐπὶ τὴν πατρίδα ἐστράτευσα; κἀμοὶ γὰρ ἀρτίως τις ἐπεστρατεύσατο Μῆδός τις ἐπὶ τὰ βλέφαρα νυστακτὴς ὕπνος Ἀρφ. Σφ. 11 καὶ ἐναντίον μου ἔκαμε πρὸ ὀλίγου ἐκστρατείαν ἕνας ὕπνος ἀπὸ τὴν Περσίαν, ποῦ μ' ἔφερε νυστάλα φοβερὴ 'ς τὰ μάτια μου. Τὸ Μῆδός τις = βάρβαρος, ὡς ὁ Φρύγιος Σαβάζιος. Ὅθεν καὶ τὸ ῥ. ἐπεστρατεύσατο, διότι ἡ ἐπιστρατεία ἦτο συνδεδεμένη πρὸς τὸ ὄνομα τῶν Περσῶν (ἀλλὰ πρβ. Εἰρήν. 748).

ἐπίστρεπτος 2 ὁ πρὸς ἑαυτὸν (ἐπιστρέφων) ἐπισύρων τὰ βλέμματα τῶν ἀνθρώπων· τέκνων τ' ἐν κελεύθοις ἐπιστρεπτὸν αἰῶ κτίσσας Αἰσχ. Χο. 348 ἴδ. αἰών. ὥραν ἐπίστρεπτον Ἱκ. 1008 «τὴν ἐπιστρέφουσαν εἰς θέαν» Σχ. τὴν ἐπισύρουσαν τὰ βλέμματα.

ἐπιστρέφω Ἡ σύνταξις· μεταβ. ἐπιστρέφω τι ἢ τινὰ εἴς (πρός) τι, μετά τινα (ἕλκε δ' ἐπιστρέψας μετ' Ἀχαιούς σ 370). Ἀμτβ. ἢ μέσ. ἐπιστρέφ. τι, ἐπὶ (πρός, εἴς) τι, ἐπὶ δὲ τῆς ἐνν. τοῦ φροντίζειν μετὰ γεν. (ἐπιστρέφομαί τινος).—στρέφω ἐπί τι, γυρίζω· Κύρνε, φίλους κάτα πάντας ἐπίστρεφε ποικίλον ἦθος, ὀργὴν συμμίσγων ἥντιν' ἕκαστος ἔχει Θέογν. 213 γνώριζε (συμμεθάρμοζε) τὸ ποικίλον ἦθός σου ἀναλόγως ἑκάστου φίλου σου, ἀναμιγνύων (προσθέτων) εἰς αὐτὸ τὴν διάθεσιν (τὸν τρόπον), ἣν ἕκαστος ἔχει. ἅπαξ ἐπίστρεφε δεῦρο κἀξείρας τὸ κέντρον εἶτ' ἐπ' αὐτὸν ἵεσο Ἀρφ. Σφ. 422 ὅλοι σας στρέφετε πρὸς τοῦτο ἐδῶ τὸ μέρος, καὶ ἀφ' οὗ ἐκβάλητε τὸ κέντρον, ἔπειτα ὁρμᾶτε ἐναντίον των. ὡς πρὸς τί πίστιν τήνδ' ἄγαν ἐπιστρέφεις; Σοφ. Τρ. 1182 κυρ. ὡς (ἄνθρωπος) ἀποβλέπων πρὸς τί (τίνα σκοπὸν ἔχων) ἀπαιτεῖς («ζητεῖς, ἐπάγεις μοι ἀκριβῆ πίστιν»· κυρ. γυρίζεις καὶ γυρίζεις καὶ ἐπαναφέρεις αὐτὴν πάντοτε εἰς τὸν λόγον) ταύτην τὴν πίστιν παρὰ πολὺ (ἄγαν, ἐν ᾧ ἔπρεπε ν' ἀρκεσθῇς εἰς

τὸν λόγον μου: πείσομαι ἅ σοι δοκεῖ); πολλὰ θάλαμον ἐξιοῦσ' ἐπεστράφη Εὐρ. Ἄλκ. 187 κυρ. ἐξιοῦσα (ἐξελθοῦσα) ἐκ τοῦ θαλάμου πολλὰς ἐπιστροφὰς ἐπεστράφη (πολλάκις ἐγύρισεν ὀπίσω). Ἀμτβ. στρέφω ἐμαυτὸν πρός τι· γαῖαν ἐπιστρέφεται Ἡσ. Θε. 753 ἀναστρέφεται ἐπὶ τῆς γῆς. πόλλ' ἐπεστράφη (ἡ γυνὴ) πέδον Εὐρ. Ἴων 352 πολὺ ἐξήτασε (πολλὰς ἐπιστροφὰς τοῦ πεδίου ἐποιήσατο) τὸν τόπον. πόθεν γῆς τῆσδ' ἐπεστράφης πέδον; Ἑλ. 83 κυρ. πόθεν ἐρχόμενος ἐστράφης (διηυθύνθης, ἦλθες) ἐπὶ ταύτην τὴν γῆν; πρβ. ἐπιστρωφάω. ἐπειδὴ δόξα τῇδ' ἐπεστράφη Σοφ. Ἀντ. 1111 οὕτω μετεβλήθη (μετεστράφη, ἤλλαξεν). τίνος δ' Ἀτρεῖδαι τοῦδ' ἄγαν οὕτω χρόνῳ τοσῷδ' ἐπεστρέφοντο πράγματος χάριν; Σοφ. Φιλ. 598 ἀλλὰ τίνος ἕνεκα πράγματος οἱ Ἀτρ. ἐφρόντιζον τόσον πολὺ περὶ τούτου μετὰ παρέλευσιν τόσου χρόνου; τῶν δ' αὐτοῦ ἰδίων οὐδὲν ἐπιστρέφεται Θέογν. 440 τῶν δὲ ἰδίων αὐτοῦ πραγμάτων οὐδόλως φροντίζει. θεοῦ νιν κέλευσμ' ἐπεστράφη μαντόσυνον Εὐρ. Ἀνδρ. 1030 κυρ. κέλευσμα θεοῦ μαντικὸν ἐστράφη ἐπ' αὐτόν: εἰς μαντικὸν κέλευσμα θεοῦ ὑπήκουσεν. οὐδὲν ἐφροντίσατε οὐδ' ἐπεστράφητε οὐδὲν τούτων Δημ. 10, 9 οὐδόλως ἐφροντίσατε οὐδὲ ἐδώσατε καμμίαν προσοχὴν εἰς ταῦτα. λέγων μᾶλλον ἐπεστραμμένα Ἡρ. 8, 62 ἴδ. ἀποστρέφω.

ἐπιστροφή ἡ: εἴην ὅθι δαΐων ἀνδρῶν ἐπιστροφαὶ τὸν χαλκοβόαν Ἄρη μείξουσιν Σοφ. Ο. Κ. 1045 εἴθε νὰ εἶμαι ἐκεῖ, ὅπου τῶν ἐχθρικῶν ἀνδρῶν αἱ μεταστροφαὶ (= οἱ ἄνδρες ἐπιστραφέντες, γυρίσαντες) θὰ ἐπιφέρωσι τὴν συμπλοκήν. μυρίων γ' ἐπιστροφαὶ κακῶν Αὐτ. 537 διαδοχαὶ (ἀπαλλαγαὶ) ἀναριθμήτων κακῶν. ‖ ἐνδιατριβή, τόπος ἐν ᾧ δύναταί τις νὰ ἐνδιατρίψῃ· Σπερχειὲ ποταμὲ βούνομοί τ' ἐπιστροφαί Ἀπ. Αἰσχ. 249 (Ἀρφ. Βάτρ. 1383) καὶ βούνομοι («ὑπὸ βοῶν κατανεμόμεναι» Σχ. Ἀρφ.) ἐνδιατριβαί. πόλιν ἕξει πατρῴων δωμάτων τ' ἐπιστροφάς Αἰσχ. Ἑπτ. 635 θὰ καταλάβῃ τὴν πόλιν του καὶ θὰ ἐνδιατρίβῃ (ἐπιστροφὰς) ἐν τοῖς πατρικοῖς δώμασι. ξενοτίμους ἐπιστροφὰς δωμάτων αἰδόμενός τις ἔστω Εὐμ. 550 διατελείτω τις αἰδούμενος τὴν ἐν τῷ οἴκῳ τῶν ξένων διατριβὴν καὶ τιμάτω αὐτοὺς (τὸ ξενοτίμους κατηγορούμ.). Ἕλλην πεφυκὼς οἷσιν (= ἐκ τούτων, οἷς) οὐκ ἐπιστροφαί Εὐρ. Ἑλ. 440 οἵτινες ἐνταῦθα δὲν εἶνε δεκτοὶ εἰς φιλοξενίαν. πρὸς τοῦ θανόντος τήνδ' ἔθεσθ' ἐπιστροφήν Σοφ. Ο. Τ. 134 ὑπὲρ (πρὸς τὸ συμφέρον) τοῦ ἀποθανόντος ἐλάβετε ταύτην τὴν πρόνοιαν. ‖ τὰ τῶν βασιλέων παθήματα ἴσασι πάντες ὧν ἐπιστροφή τις ἦν Εὐρ. Ἰ. Τ. 671 γνωρίζουσι τὰ παθήματα τῶν βασιλέων πάντες, ὅσοι εἶχον ἐπικοινωνίαν τινὰ (πρὸς ἄλλους ἀνθρώπους): ὅσοι ἔτυχε νὰ γνωρίσουν τὸν κόσμον.

ἐπίστροφος 2: ἐπεὶ καὶ κεῖνος ἐπίστροφος ἦν ἀνθρώπων α 177 ἠγάπα νὰ συναναστρέφηται μὲ τοὺς ἀνθρώπους: ἦτο κοινωνικὸς (ἐπιστροφὴν ἔχων). Ἄλλοι: «ἐπιστροφὴν καὶ ἐπιμέλειαν ποιούμενος τῶν ἀνθρ.» Σχ. ἐπίστροφος δαίων θ 163 «ἐπιστρεπτικὸς οἷον ἐπιμελὴς» τῶν φορτίων. Ἀλλ' ἀντὶ τῆς γρ. ταύτης τοῦ Ἀριστοφάνους προτιμῶσι συνήθως τὴν τοῦ Ἀριστάρχου: ἐπίσκοπος (ὅ ἴδε). τὸν δ' ἐπίστροφον τῶνδε φῶτ' ἄδικον καθαιρεῖ Αἰσχ. Ἀγ. 407 τὸν δὲ μετὰ τούτων ἀναστρεφόμενον ἄνδρα ὡς ἄδικον ἐξολοθρεύει (ὁ θεός).

ἐπιστρωφάω: θεοὶ ἐπιστρωφῶσι πόληας ρ 486 «ἐπιφοιτῶσι»: συχνὰ ἐπισκέπτονται τὰς πόλεις. ὅν τε θαμειαὶ ἐπιστρωφῶσι μέριμναι Ὁμ. Ὕμν. Ἑρμ. 44 συχναὶ μέρ. καταλαμβάνουσι. ὅταν δὲ τεύχῃ Ζεὺς ἀπ' ὄμφακος πικρᾶς οἶνον, τότ' ἤδη (τόθ' ἡδὺ Auratus) ψῦχος ἐν δόμοις πέλει ἀνδρὸς τελείου δῶμ' ἐπιστρωφωμένου Αἰσχ. Ἀγ. 963 ὅταν δὲ ὁ Ζεὺς ἀπὸ πικρᾶς ὄμφ. ποιῇ οἶνον (τ. ἔ. ὅταν δὲ ὁ Ζεὺς πεπαίνων τοὺς πικροὺς ὄμφακας ποιῇ αὐτοὺς ἐπιτηδείους εἰς παρασκευὴν οἴνου, δηλ. θέρους), τότε «πλέον» ψῦξις («δροσιά») ἐν τῷ οἴκῳ ὑπάρχει, ἐν ᾧ ὁ τέλειος (οὗ ἄνευ ὁ οἶκος ἀτελής) ἀνήρ, ὁ κύριος τοῦ οἴκου, ἀναστρέφεται ἐν αὐτῷ. πόθεν γῆς τῆσδ' ἐπιστρωφᾷ πέδον; Εὐρ. Μήδ. 666 ἀπὸ ποῦ (ἐρχόμενος) γυρίζεις ἢ γυρνᾷς σὲ τοῦτα τὰ χώματα; (Δ. Βερν.).

ἐπισχεσία ἡ: οὐδέ τιν' ἄλλην μύθου ποιήσασθαι ἐπισχεσίην ἐδύνασθε φ 70 καὶ δὲν ἠδύνασθε νὰ εὕρητε ἄλλον λόγον, ἵνα προβάλητε, παρὰ τὴν μνηστείαν μου.

ἐπίσχεσις ἡ: οὔ τις ἐπίσχεσις οὐδ' ἐλεητὺς ἀλλοτρίων χαρίσασθαι ρ 451 κυρ. οὐδεμία ἐπικώλυσις οὐδὲ φειδὼ ὑπάρχει τῶν ἀλλοτρίων, ὥστε χαρίσασθαι ἐξ αὐτῶν τ. ἔ. ἀφειδῶς εἰώθεσαν οἱ ἄνθρωποι χαρίζεσθαι τῶν ἀλλοτρίων· οὐδὲν γὰρ κωλύει· πρβ. τὸ παροιμιῶδες «μὲ ξένα κόλλυβα μνημονεύεσαι».

ἐπίσχω: ἐπίσχετε θυμὸν ἐνιπῆς καὶ χειρῶν υ 266 ἀναχαιτίσατε τὴν καρδίαν σας ἀπὸ (πάσης) διὰ λόγων ἐπιπλήξεως καὶ βιαιοπραγίας. Περὶ τοῦ ἐπισχόμενος ἐξέπιε Πλ. Φαίδων 117 C καὶ ἐπισχόμεναι ἑανῶν πτύχας Ὕμν. Δήμ. 176 ἴδ. ἐπέχω ἐν τέλει.

ἐπίταγμα τό: ἐν ἐκείναις ταῖς πολιτείαις πάντα ἐξ ἐπιτάγματος γίνεται Δημ. 19, 185 πάντα γίνονται δι' ἑνὸς διατάγματος. πολυτελὴς ἦν ἡ Νικαρέτη τοῖς ἐπιτάγμασι 59, 29 ἴδ. πολυτελής.

ἐπιταλαιπωρέω ἐπὶ (= πρὸς) ταῖς ὑπαρχούσαις ταλαιπωρίαις καὶ ἄλλας νέας ὑπομένω· περὶ τῶν ἔπειτα μελλόντων τοῖς παροῦσι βοηθοῦντας χρὴ ἐπιταλαιπωρεῖν Θουκ. 1, 123 ὀφείλομεν ὑποστηρίζοντες τὰ παρόντα νὰ ὑπομένωμεν νέας ταλαιπωρίας χάριν (κυρ. προκειμένου περὶ) τῶν ἔπειτα μελλόντων· ὅπου ἡ ἐξάλειψις τῶν μελλόντων πλημμελής, ὅπερ προσετέθη διὰ τὴν ἀκριβεστέραν ἀντίθ. πρὸς τὰ προγεγενημένα, ὅπου ἐπίσης

πλεονάζει ἡ προ-. πρβ. 3, 39, 8. Πλ. Παρμεν. 141 Ε.

ἐπιτάξ «παρὰ Καλλιμάχῳ ('Απ. 327) ἐπίρρημα παρὰ τὸν ἐπιτάξω μέλλοντα· εἰς δὲ τὸ Ῥητορικὸν λεξ. εὗρον τὴν λέξιν σημαίνειν συντόμως» Μ. Ἐ. 365, 25. Κατὰ δὲ τὸν Ἑλλάδιον ἐν Φωτ. Βιβλ. (532, 36 Bekk.) τὸ ἐπιτὰξ σημαίνει, «ὃ κατ' ἐπίταγμα καὶ κέλευσιν πράττεται». Ἐν Ἀράτ. 380 ἐπιτὰξ ἄλλῳ παρακείμενος ἄλλος ἀστὴρ σημ. καθεξῆς κατὰ τάξιν. Τὸ δὲ ἐκ τοῦ Μ. Ἐ. (ἔνθ. ἀν.) κωμικὸν ἀπόσπ. (ἴδ. Ἀποσπ. Ἀνωνύμ. 623 Mein.): ὅστις τῆς ὁδοῦ ἡγήσεταί σοι τὴν ἐπιτὰξ κατὰ τὴν γνώμην μου σημ. ὅστις νά σε ὁδηγήσῃ (ἀπὸ) τὸν συντομώτερον δρόμον.

ἐπιτάσσω προστάσσω, ἐντέλλομαι. Ἡ σύνταξις ἐπιτάσσω τι, ἢ τινὰ (ἐπί) τινι, καὶ ἐπιτάσσω τινί τι (ἢ μετ' ἀπρφ.). μὴ 'πίτασσ' ἃ μὴ κρατεῖς Σοφ. Ο. Κ. 839 μὴ διάταττε ὅσα δὲν εἶσαι κύριος νὰ ἐκτελέσῃς. δικαίωσις ἀπὸ τῶν ὁμοίων πρὸ δίκης τοῖς πέλας ἐπιτασσομένη Θουκ. 1, 141 ἀπαίτησις ἐπιβαλλομένη ἐκ τῶν ὁμοίων (ἀρσεν.) πρὸ δίκης (ὅθεν: ἄνευ δίκης) εἰς τοὺς ἄλλους. Τὸ ὑπὸ τῶν ὁμοίων τοῦ Cobet δηλοῖ ἄμεσον ἐπιταγήν, ἥτις δὲν ὑπάρχει ἐνταῦθα ἄλλο τι μεῖζον εὐθὺς ἐπιταχθήσεσθε 1, 140 κυρ. θὰ προσταχθῆτε εὐθὺς ἄλλην τινὰ βαρυτέραν προσταγὴν (παθητ. ἐκ τοῦ ἐπιτάσσω τί τινι· πρβ τὸ παθ. ἐπεβουλεύοντο 1, 2). Λακεδαιμονίοις πρὸς ταῖς αὐτοῦ ὑπαρχούσαις ἐξ Ἰταλίας καὶ Σικελίας τοῖς τἀκείνων ἑλομένοις ναῦς ἐπετάχθησαν ποιεῖσθαι 2, 7 ἐκ τῶν πολλῶν διορθ. κρίνω μνείας ἀξίαν τὴν τοῦ L. Herbst ἐπετάχθη σ' τ. ἔ. ἐπετάχθη διακοσίας, ὅπερ συμφωνεῖ πρὸς τὰ ὑπὸ Διοδ. Σ. 12, 41 λεγόμενα: ὑπὸ τῶν Λακεδαιμονίων ἐδόθη διαταγὴ εἰς τοὺς προστεθέντας μὲ τὸ μέρος των ἐξ Ἰταλίας καὶ Σικελίας νὰ κατασκευάσωσι διακοσίας ναῦς ἐκτὸς τῶν αὐτοῦ (ἐν Πελοποννήσῳ) ὑπαρχουσῶν. εἰ 'πιταξόμεσθα Εὐρ. Ἰκ. 521 ἂν θὰ μᾶς προστάξουν. ἐπετετάχατο (Ἰων. = ἐπιτεταγμένοι ἦσαν) ἐς τοὺς Πέρσας Ἡρ. 7, 85 ἦσαν τεταγμένοι μεταξὺ τῶν Περσῶν ἀλλ' ὄπισθεν αὐτῶν. τό γ' εἶδος αὐτὸ σοῦ κατηγορεῖ σιγῶντος, ὡς εἴης ἂν οὐχ ὑπήκοος, τάσσειν δὲ μᾶλλον ἢ ἐπιτάσσεσθαι θέλοις Εὐρ. Ἀπ. 690 ἡ μορφή σου σιωπῶντος δεικνύει σὰν νὰ εἶσαι ὄχι ὑπήκοος, θέλεις δὲ νὰ προστάττῃς μᾶλλον παρὰ νὰ δέχησαι προσταγάς. οἱ ἐπιτεταγμένοι Θουκ. 5, 72 οἱ ἐν τῇ ὀπισθοφυλακῇ τεταγμένοι. τί γὰρ ἄν τις ὑπολάβοι ἡμαρτῆσθαι, ἃ Πρωταγόρας ἐπιτιμᾷ, ὅτι εὔχεσθαι οἰόμενος ἐπιτάττει εἰπὼν «μῆνιν ἄειδε θεά» Ἀριστοτ. Ποιητ. 19 (1456b 15) διότι τί ἁμάρτημα ἤθελέ τις ἐκλάβῃ ὅτι ἔχει γίνῃ ἐν οἷς ψέγει ὁ Πρωταγόρας τὸν Ὅμηρον, ὅτι, ἐν ᾧ ἔχει τὴν ἰδέαν ὅτι εὔχεται, προστάττει εἰπὼν «τὴν ὀργὴν ψάλλε, ὦ θεά».

ἐπιτεθυμμένος ἴδ. ἐπιτύφω.

ἐπιτείνω τείνω ἐπί τι, ἐπί τινος, ἐπί τινι, ἐξαπλώνω· ἐπὶ νὺξ ὀλοὴ τέταται δειλοῖσι βροτοῖσιν λ 19 ὀλεθρία νὺξ (σκότος) εἶνε ἐξηπλωμένη ἐπὶ τῶν δυστυχῶν ἀνθρώπων. || τεντώνω ἀντίθ. τῷ ἀνιέναι· λύραν ἐπίτειν' ἕως ἂν ἁρμόσῃ Ἀπ. Μάχων. 2 (Ἀθην. 345 F) ἴδ. ἁρμόζω. || ἐπαυξάνω· ἐκλεγόμενοις τίνων αἱ τιμαὶ ἐπετέταντο Δημ. 56, 24 ἴδ. ἐκλέγω. ὧν ἕνεκά φημι χρῆναι ἡμᾶς ἐπιταθῆναι εἰς ἀνδραγαθίαν Ξεν. Κ. Π. 7, 5, 82 λέγω ὅτι πρέπει νὰ βάλωμεν ὅλην μας τὴν προθυμίαν (ὅλα μας τὰ δυνατά). διὰ νὰ κάμωμεν ἀνδραγαθήματα. Ἀμτβ. ἐὰν δ' ἐπιτείνωσι τῷ ἐλάττονες ὄντες μείζονας οὐσίας ἔχειν, ἡ τρίτη ἐπίδοσις γίνεται τῆς ὀλιγαρχίας Ἀριστοτ. Πολ. 4, 6 (1293a 27) ἐὰν δὲ προβαίνῃ ἡ κατάστασις αὕτη οὕτως, ὥστε ἐν ᾧ εἶνε ὀλιγώτεροι νὰ ἔχωσι μεγαλιτέρας περιουσίας, προέρχεται ἡ τρίτη πρόοδος (τὸ τρίτον προοδευτικὸν εἶδος) τῆς ὀλιγαρχίας. ἐν μὲν τοῖς μέρεσι σαφής, ὑπὸ (διορθοῦσι περὶ ἢ κατὰ) δὲ τὴν σύνταξιν διὰ τὸ ἐπιτεῖνον τῆς ἑρμηνείας ἄδηλος εἶναι δοκῶν Μαρκελλίν. βίος Θουκ. § 50 διὰ τὸ μῆκος (ἄλλοι: διὰ τὸ συμπεπυκνωμένον) τῶν περιόδων καὶ τῶν ἐννοιῶν φαίνεται ὅτι (ὁ λόγος αὐτοῦ) γίνεται ἀσαφής. νομίζων τοὺς οὕτω παιδευομένους μᾶλλον μὲν ἂν δύνασθαι.. ἀσιτήσαντας ἐπιπονῆσαι, μᾶλλον δ' ἂν ἀπὸ τοῦ αὐτοῦ σίτου πλείω χρόνον ἐπιταθῆναι Ξεν. Λακ. Πολ. 2, 5 θὰ ἠδύναντο «νὰ βαστάξουν» περισσότερον καιρὸν μὲ τὸν αὐτὸν σῖτον.

ἐπιτειχίζω τειχίζω ἐπί τινα, τ. ἔ. τεῖχος, ὀχύρωμα, φρούριον (ἐν τῇ χώρᾳ τῶν πολεμίων) ἀνεγείρω ἐναντίον (πρὸς ἐνόχλησιν) αὐτῶν. ἦλθες ἐς Δεκέλειαν καὶ ἐπετείχισας τῇ πατρίδι Ἀνδοκ. 1, 101 ἐτείχισας (ὠχύρωσας) αὐτὴν ἐναντίον τῆς πατρίδος. δύο ἐν Εὐβοίᾳ κατέστησε τυράννους, τὸν μὲν ἀπαντικρὺ τῆς Ἀττικῆς ἐπιτειχίσας, τὸν δ' ἐπὶ Σκίαθον Δημ. 8, 36 τὸν μὲν ἐγκαθιδρύσας ἀπ. τῆς Ἀττικῆς ὡς ἐπιτείχισμά τι. Ὁμοίως τυραννίδ' ἐπετείχισεν ὑμῖν ἐν τῇ Εὐβοίᾳ 10, 8 ἐγκαθίδρυσε τυραννίδα ἐν τῇ Εὐβοίᾳ ἐναντίον ὑμῶν.

ἐπιτείχισις ἡ, κτίσις (τείχισις) φρουρίου, ὀχυρωμάτων ἐναντίον τινός· Θουκ. 1, 142.

ἐπιτείχισμα τό, τὸ ἐπιτετειχισμένον ἔρυμα, τὸ ἐναντίον τινὸς ᾠκοδομημένον ὀχύρωμα· κατασκευάζοντος ὑμῖν ἐπιτείχισμα τὴν Εὔβοιαν Δημ. 8, 66 ἐν ᾧ κατεσκεύαζε τὴν Εὔβοιαν ὀχύρωμα ἐναντίον σας. Καὶ μετὰ γεν. ἐξ ἀντικειμ. χαλεπὸν πολεμεῖν ἐστιν Ἀθηναίοις ἔχουσι τοσαῦτα ἐπιτειχίσματα τῆς αὐτοῦ χώρας Δημ. 4, 5 δύσκολον εἶνε νὰ πολεμῇ ἐναντίον τῶν Ἀθην., οἵτινες ἔχουσι τόσα (ὁρμητήρια) φρούρια ἐναντίον τῆς χώρας του. Μτφ. ἡ φιλοσοφία ἐπιτείχισμα τῶν νόμων Ἀλκιδάμας (ἐν Ἀριστοτ. Ῥητ. 3, 3 σ. 1406 a 12) προπύργιον (ὑπὲρ) τῶν νόμων (κατ' ἄλλους: ἐναντίον τῶν νόμων).

ἐπιτειχισμός ὁ: ἕτερον κατὰ τῆς πόλεως ἐπιτειχισμὸν

ἐζήτει Δημ. 18, 87 ἄλλο μέσον (τρόπον) προσβολῆς ἐναντίον τῆς πόλεως ἐζήτει.

***ἐπιτέλλω*:** κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλεν Α 25 ἔντονον δὲ λόγον (αὐστηρὰν προσταγὴν) προσέταττε. τῷ δ' ἐπὶ πάντ' ἐτέταλτο ἀνασσέμεν Αἰτωλοῖσιν Β 643 εἰς τοῦτον δὲ ἦσαν ἀνατεθειμένα πάντα (τ. ἔ. πᾶσα ἡ διεύθυνσις), δηλ. νὰ βασιλεύῃ μεταξὺ τῶν Αἰτωλῶν· τὸ ἀνασσ. εἶνε συμπληρωματικὴ ἐπεξήγ. εἰς τὸ πάντα. Ὁμοίως λ 524. πρῶτον παμφαίνων ἐπιτέλλεται Ἡσ. Ἔργ. 565 πρῶτον παμφαὴς (ὅλος φαινόμενος) ἀνατέλλει. Ἀμτβ. στενάχω, πῆ ποτε μόχθων χρὴ τέρματα τῶνδ' ἐπιτεῖλαι Αἰσχ. Πρ. 100 στενάζω (διανοούμενος) πῶς τέλος πάντων θὰ ἐπιφανῆ τὸ τέρμα τῶν παρόντων μόχθων. Μτφ. ὡραῖος καὶ Ἔρως ἐπιτέλλεται, ἡνίκα περ γῆ ἄνθεσιν εἰαρινοῖς θάλλει ἀεξομένη Θέογν. 1275 ὡραῖος καὶ ὁ Ἔρως ἐπιφαίνεται (ἐμφανίζεται, παρουσιάζεται), ὁπόταν ἡ γῆ μὲ ἀνοιξιάτικα λουλούδια φουντωμένη πρασινίζει (καὶ λουλουδίζει).

ἐπιτέχνησις κυρ. μεταρρύθμισις ἐν τῇ τέχνῃ νέα· ἡσυχαζούσῃ μὲν πόλει τὰ ἀκίνητα νόμιμα ἄριστα, πρὸς πολλὰ δὲ ἀναγκαζομένοις ἰέναι πολλῆς καὶ τῆς ἐπιτεχνήσεως δεῖ Θουκ. 1, 71 κυρ. καὶ εἰς ἡσυχάζουσαν μὲν πόλιν τὰ ἀκίνητα νόμιμα (ἔθιμα) εἶνε ἄριστα, ἄνθρωποι δ' ὅμως ἀναγκαζόμενοι πολλὰ νὰ ἐπιχειρῶσι ἔχουσιν ἀνάγκην καὶ πολλῶν νεωτερισμῶν.

ἐπιτήδειος 3 καὶ 2, Ἰων. ἐπιτήδεος (πρβ. ἐπιτηδὲς) ὁ πρός τι κατάλληλος, ἁρμόδιος, χρήσιμος· παραθ. ἐπιτηδειότερος, Ἰων. ἐπιτηδεότερος (Δ. Γ. ἐπιτηδεώτερος), ἐπιτηδειότατος, Ἰων. ἐπιτηδεότατος (Δ. Γ. -τηδεώτατος), ἐπιτηδειέστατος Δημόκριτος παρ' Εὐσταθίῳ (1441, 17). εἰ κύων μέν σοι ἦν ἐπὶ προβάτοις ἐπιτήδειος Ξεν. Ἀπ. 2,3, 9 ἐὰν εἶχες κύνα κατάλληλον εἰς φύλαξιν προβάτων. ἄνδρας ἀπέκτειναν... οἳ ἐδόκουν ἐπιτήδειοι εἶναι ὑπεξαιρεθῆναι Θουκ. 8, 70 κυρ. οἱ ὁποῖοι ἐθεωροῦντο κατάλληλοι (τ. ἔ. ἄξιοι) νὰ φονευθῶσιν (κυρ. «νὰ βγοῦν ἀπὸ τὴν μέση»). ἐπιδείξω αὐτὸν ἐπιτηδειότερον τεθνάναι μᾶλλον ἢ σῴζεσθαι Ἀνδοκ. 4, 25 θὰ ἀποδείξω ὅτι εἶνε ἁρμοδιώτερος (δηλ. ὅτι ἀξίζει) νὰ φονεύηται μᾶλλον ἢ νὰ σῴζηται. ἐκλεγόμενος τὸν ἐπιτήδειον ἔπαισεν ἂν Ξεν. Ἀν. 2, 3, 11 ἐκλέγων τὸν πρὸς τοῦτο (πρὸς τὸ παίεσθαι) κατάλληλον, τὸν ἐκτύπα (κυρ. θὰ τὸν ἐκτύπα: ἐμποροῦσε νὰ τὸν κτυπᾷ). μεμαθηκυῖα μὴ κακῶς ἔχειν τὰ ἐπιτήδεια Δημ. 59, 42 διότι εἶχε μάθῃ νὰ ζῇ καλά, νὰ μὴ στερῆται τίποτε. χρόνον ἐμμείναντες ὅσου (= δι' ὅσον) εἶχον τὰ ἐπιτήδεια Θουκ. 2, 23· πρβ. 3, 1. ἀναλαβόντας αὐτὰ ὅσα περὶ τὸ σῶμα ἐς δίαιταν ὑπῆρχεν ἐπιτήδεια ἀφορμᾶσθαι 7, 74 ἀφ' οὗ ἀναλάβωσι μόνον ἐκεῖνα, ὅσα ἦσαν εἰς αὐτοὺς πρόσφορα πρὸς θεραπείαν τοῦ σώματός των, ν' ἀναχωρῶσιν. ἤλπιζον... οὐ μενεῖν κατὰ χώραν τὰ πράγματα, ἀλλὰ χρόνῳ τῶν Ἀθηναίων μὲν προσιόντων τοῖς ἀφεστηκόσι, τοῖς δὲ οὐκ οὔσης ἀθρόας τῆς δυνάμεως, καταστήσειν αὐτὰ ἐς τὸ ἐπιτήδειον 4, 76 ἤλπιζον ὅτι τὰ πράγματα δὲν θὰ μείνωσιν εἰς τὴν αὐτὴν κατάστασιν, ἀλλ' ὅτι θὰ μεταρρυθμίσωσιν αὐτὰ συμφώνως μὲ τὴν ἐπιθυμίαν των (κατ' εὐχήν), ἐν ᾧ μὲ τὸν καιρὸν οἱ μὲν Ἀθηναῖοι θὰ προσέρχωνται εἰς βοήθειαν τῶν ἀφισταμένων, οἱ δὲ Βοιωτοὶ δὲν θὰ ἔχουν συγκεντρωμένην τὴν δύναμίν των. ἤν τι ἄλλο φαίνηται ἐπιτήδειον 6, 41 ἴδ. κατασκοπή. κατ' ὀλιγαρχίαν δὲ σφίσιν αὐτοῖς μόνον ἐπιτηδείως ὅπως πολιτεύσουσι θεραπεύοντες 1, 19 φροντίζοντες πῶς οἱ σύμμαχοί των νὰ ἔχωσι πολίτευμα ὀλιγαρχικὸν συμφώνως πρὸς τὸ ἴδιόν των μόνον συμφέρον.

***ἐπιτηδές*:** μνηστῆρων σ' ἐπιτηδὲς ἀριστῆες λοχόωσιν ο 28 οἱ ἀνδρειότατοι τῶν μνηστήρων ἱκανοὶ τὸν ἀριθμὸν (ἢ τὴν δύναμιν) σὲ ἐνεδρεύουσιν. Πέλοπα κατόμνυμι... ἦ μὴν ἐρεῖν σοι τἀπὸ καρδίας σαφῶς καὶ μὴ 'πίτηδες μηδὲν ἀλλ' ὅσον φρονῶ Εὐρ. Ἰ. Α. 473 σοὶ ὁρκίζομαι εἰς τὴν ψυχὴν τοῦ Πέλοπος, ὅτι ἀληθῶς θὰ σοὶ εἴπω καθαρὰ ὅ τι ἔχω μέσα εἰς τὴν καρδίαν μου καὶ τίποτε ἄλλο περισσότερον (παραπάνω, κυρ. μὲ ὡρισμένον σκοπόν, ἔθ. μὲ πονηρίαν) παρὰ τόσον μόνον ὅσον φρονῶ. τοὺς Μεσσηνίους πρώτους ἐπίτηδες ὁ Δημοσθένης προύταξεν Θουκ. 3, 112 οὕτω καὶ ἡμεῖς: ὁ Δημ. προέταξεν ἐπίτηδες πρώτους τοὺς Μεσσηνίους.

***ἐπιτήδευμα*:** ἡ ἐς τὰ ἐπιτηδεύματα οὐ δημοτικὴ παρανομία Θουκ. 6, 28 ἴδ. παρανομία.

ἐπιτήδευσις ἡ, ἡ συστηματικὴ πρᾶξις, ἄσκησίς τινος· ἥκιστα δὴ ἄξιος ὢν ἐς τοῦτο δυστυχίας ἀφικέσθαι διὰ τὴν πᾶσαν ἐς ἀρετὴν νενομισμένην ἐπιτήδευσιν Θουκ. 7, 86 «διὰ τὸ πᾶσαν ἀρετὴν νομίμως ἐπιτετηδευκέναι» Σχ. διὰ τὴν ὅλην συστηματικὴν διὰ τῶν νομίμων καὶ τῶν ἐθίμων κανονιζομένην σπουδὴν πρὸς τὸ ἀνθρωπίνως εὐγενές (Κλάσσεν). Μᾶλλον: διὰ τὴν νόμιμον ἐκ συστήματος ἄσκησιν, τὴν ὁποίαν ἔκαμνεν ἀναφορικῶς πρὸς πᾶσαν ἀρετήν.

ἐπιτηδεύω ἐπίτηδες ποιῶ τι, ὅθεν ἀσκῶ τι μετ' ἐπιμελείας (συστηματικῶς), ἀκολουθῶ, μιμοῦμαι, σκοπίμως πράττω τι· ἀλλ' ἐν τοῖς κακοῖς πολλή 'στ' ἀνάγκη κἀπιτηδεύειν κακά Σοφ. Ἠλ 309 ἀλλ' ὅταν εἶνε κανεὶς μέσα εἰς τὰ κακά, πολλὴ ἀνάγκη εἶνε νὰ μὴ ἐμπορῇ νὰ κάμνῃ παρὰ κακά. λαλιὰν ἐπιτηδεῦσαι καὶ στωμυλίαν ἐδίδαξας Ἀρφ. Βατρ. 1069 ἐδίδαξας τὰ μειράκια τὴν συστηματοποίησιν τῆς φλυαρίας καὶ στωμυλίας. Τὸ λαλεῖν καὶ τὴν λαλιὰν ὁ μὲν Εὐριπίδης ἐννόει ὡς δεξιότητα περὶ τὸ λέγειν (ἴδ. στ. 954), ὁ δ' Αἰσχύλος ὡς φλυαρίαν.—τὸ δ' ἐπὶ κακουργίᾳ καὶ οὐκ ἀρετῇ ἐπετήδευσαν Θουκ. 1, 37 τοῦτο ὅμως ἔπραξαν συστηματικῶς, ἵνα κακουργῶσι καὶ ὄχι ὑπὸ χρηστότητος. ἄλλας κύνας εἶχες ἐπιτετηδευμένας πρὸς τὸ κατὰ πόδας αἱρεῖν Ξεν. Κ. Π 1, 6, 40 εἶχες ἄλλας κύνας

ἐξησκημένας, ἵνα τὸν συλλαμβάνωσι «'ς τὰ πόδια»: δρόμῳ, τρέχουσαι. τὸ μέν κού τι καὶ τὸ χωρίον συμμαχέει... τὸ δὲ καὶ μᾶλλόν τι ἐπετηδεύθη Ἡρ. 1, 98 ἀφ' ἑνὸς μὲν βέβαια καὶ τὸ χωρίον (ἡ θέσις) κάπως συντελεῖ..., εἰς ἓν ὅμως ἄλλο μέρος συνετέλεσε καὶ ἔτι μᾶλλον ἡ τέχνη. Τὸ τὸ μέν κεῖται ἐπιρρημ., ἀλλὰ τὸ τὸ δὲ ὡς οὐσ.

ἐπιτίθημι τίθημι (βάλλω) τι ἐπί τινος. Ἡ σύνταξις ἐπιτίθημί τί τινι (σπαν. τινός) ἢ ἐπὶ (πρός) τι ἢ ἐπί τινος· τὸ μέσ. καὶ μετ' ἀπαρέμφ. τύμβον τε χῶσον κἀπίθες μνημεῖά μοι Εὐρ. Ἰ. Τ. 702 κάμε μου τάφον (ἴδ. χώννυμι) καὶ ἐπ' αὐτοῦ θὲς τὰ εἰς ἀνάμνησίν μου χρήσιμα. εἴδατα πόλλ' ἐπιθεῖσα α 140 ἀφ' οὗ ἔβαλεν ἐπ' αὐτῆς πολλὰ φαγητά. ἐπὶ δέ σφι τίθει χρύσεια κάνεια κ 355 ἐπ' αὐτῶν δὲ ἔθετε χρυσᾶ κάνιστρα. ἐπὶ μηρία θέντες Ἀπόλλωνι κλυτοτόξῳ φ 267 (καύσαντες τὰ μηρία καὶ) προσενεγκόντες θυσίαν εἰς τὸν κλυτ. Ἀπόλλωνα. οὐδ' ἂν θύσαιμ' οὐδ' ἂν σπείσαιμ' οὐδ' ἐπιθείην λιβανωτόν Ἀρφ. Νεφ. 426 δὲν θὰ προσφέρω θυσίαν οὐδὲ σπονδήν, οὐδὲ κἂν λιβάνι θὰ βάλω ἐπὶ τοῦ βωμοῦ των. ‖ συστήσαντες γὰρ τὸν μῦθον διὰ τῶν εἰκότων, οὕτω τὰ τυχόντα ὀνόματα ἐπιτιθέασι Ἀριστοτ. Ποιητ. κεφ. 9 (1451^{b} 13) διότι, ἀφ' οὗ συναρμολογήσωσι τὸν μῦθον κατὰ τοὺς κανόνας τῆς πιθανότητος, ἔπειτα ἐπιθέτουσι τὰ τυχόντα ὀνόματα εἰς τὰ πρόσωπά των. Καὶ μέσ. δίδω ὄνομα· ἐπὶ πᾶσι τίθενται (ἐνν. ὄνομα ἐκ τοῦ προηγ. ἀνώνυμος· ὑποκ. οἱ ἄνθρωποι) ἐπεί κε τέκωσι τοκῆες θ 554 εἰς ὅλους βάζουν ὄνομα, ὅταν οἱ γονεῖς των τοὺς γεννήσωσι. θήσειν γὰρ ἔτ' ἔμελλεν ἐπ' ἄλγεά τε στοναχάς τε Τρωσί Β 39 λύπας ἀκόμη καὶ στεναγμοὺς ἔμελλε νὰ ἐπιβάλῃ (προξενήσῃ) εἰς τοὺς Τρ. Καὶ μετ' ἀπρφ. ἐπιθεὶς δὲ (ἐνν. τιμωρίαν ἢ ἄλλο τι τοιοῦτον· κυρ. ἐπαναλαμβάνεται τὸ προηγ. ἐπέβαλε) καὶ εἴ τις ταῦτα φύγοι, μηδενὸς ἔτι τῶν καλῶν τυγχάνειν Ξεν. Λακεδ. 3, 3 ἐπιβαλὼν δὲ τὴν ποινὴν καὶ εἰς πάντα, ὅστις ἤθελεν ἀποφύγῃ τοὺς πόνους τούτους, νὰ μὴ λαμβάνῃ κανὲν πλέον τιμητικὸν ἀξίωμα. ἤδη κολοφῶνα ἐπιτίθης τῇ σοφίᾳ Πλ. Εὐθύδ. 301 Ε τώρα πλέον ἐπιθέτεις τὸν κολοφῶνα εἰς τὴν σοφίαν σου. δύο ταῦτα ὥσπερεὶ κεφάλαια ἐφ' ἅπασι τοῖς ἑαυτῷ νενεανιευμένοις ἐπέθηκεν Δημ. 21, 18 εἰς ὅλα τὰ ἀνδραγαθήματά του («ταῖς παλληκαριαῖς του») ἐπέθηκε τὸν κολοφῶνα διὰ τῶν ἑξῆς δύο ἔργων του. ἐπιτιθέναι πίστιν κατὰ τῶν ἱερῶν Ἰσαῖ. 7, 16 νὰ ὁρκίζηταί τις θέτων πρὸς πίστωσιν τὴν χεῖρά του ἐπὶ τῆς κεφαλῆς τοῦ ἱερείου. ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος ἠδ' ἐπιθεῖναι Ε 751 ν' ἀνοίξωσιν (ἀναπετάσωσι) καὶ νὰ ἐπιθέσωσι (κλείσωσι) τὸ πυκνὸν νέφος, δι' ὧν κλείεται ὁ οὐρανός: νὰ ἀνοίξωσι καὶ νὰ κλείσωσι τὰς πύλας τοῦ οὐρανοῦ. Ἑκτορέοις ἄρα μᾶλλον ἐπὶ φρένα θῆχ' ἱεροῖσιν Κ 46 εἰς τὰς θυσίας λοιπὸν τοῦ Ἕκτορος ἔστρεψε μᾶλλον τὸν νοῦν του (προσέσχε μᾶλλον τὸν νοῦν)· πρβ. τῇ δ' ἄρ' ἐπὶ φρεσὶ θῆκε φ 1 ἔβαλεν εἰς τὸν νοῦν της. ‖ παραδίδω εἴς τινα ἐπιστολήν, καὶ κυρ. βάλλω μέσα εἰς τὰ χέρια τοῦ ἀγγέλου τὸ γράμμα καὶ τοῦ λέγω νὰ τὸ δώσῃ πρὸς τὸν δεῖνα εἰς τὸ δεῖνα μέρος· πρβ. Ἁρποκρ. «λέγειν ἦν εἰθισμένον ἐπέθηκεν ἐπιστολὴν ἀντὶ τοῦ παρέδωκεν» (ἀγγέλῳ)· οὐδὲ τὰς ἐπιστολὰς ἀπέδωκας αὐτοῖς, ἃς ἡμεῖς ἐπεθήκαμεν Δημ. 34, 28 τὰς ὁποίας ἡμεῖς σοὶ παρεδώσαμεν («ἐδώσαμεν εἰς τὰ χέρια σου»). γράψας (βιβλίον) ἐς Αἴγυπτον ἐπέθηκε Ἡρ. 3, 42 γράψας ἐπιστολὴν ἔδωκεν αὐτὴν εἰς τὰς χεῖρας τοῦ ταχυδρόμου, διὰ νὰ τὴν φέρῃ εἰς Αἴγυπτον: διηύθυνεν αὐτὴν εἰς Αἴγ. ταῦτα Ἀλκαῖος ἐν μέλει ποιήσας ἐπιτιθεῖ ἐς Μυτιλήνην Ἡρ. 5, 95 περὶ τούτων ὁ Ἀλκαῖος ποιήσας ποίημα παραδίδει αὐτὸ (εἰς τὸν ταχυδρόμον) διὰ νὰ τὸ φέρῃ εἰς Μυτιλήνην· ἴδ. Bergk Ἀπ. 32 καὶ τὸ ῥ. ἀντεπιτίθημι. ὡραῖος δὲ γυναῖκα τεὸν ποτὶ οἶκον ἄγεσθαι μήτε τριηκόντων ἐτέων μάλα πόλλ' ἀπολείπων μήτ' ἐπιθεὶς μάλα πολλά Ἡσ. Ἔρ. 695 ὅταν εἶσαι ὥριμος κατὰ τὴν ἡλικίαν, νὰ παίρνῃς γυναῖκα εἰς τὴν οἰκίαν σου, μήτε πολὺ κάτω τῶν τριάκοντα ἐτῶν ὅταν εἶσαι, μήτε πολὺ ἐπάνω. δικαιοσύνην ἐπιθέμενος (ἐνν. αὐτῇ, τῇ δικαιοσύνῃ) ἤσκεε Ἡρ. 1, 96 ἤσκει δικαιοσύνην ἐπιχειρήσας αὐτῇ. οὐ κατὰ λαμπροφωνίην ἐπιτιθέμενοι (ἐνν. τῇ τέχνῃ) ἄλλοι σφέας παρακληΐουσι 6, 60 = οὐκ ἐπιτίθενται (οὐκ ἐπιχειροῦσιν) ἄλλοι τῇ τέχνῃ ταύτῃ κατὰ λαμπρ. καὶ παρακλ. σφᾶς: δὲν ἐπιδίδονται ἄλλοι εἰς τὴν τέχνην ταύτην ὡς λαμπροφωνότεροι καὶ ἀποκλείουσιν αὐτοὺς (τοὺς διαδόχους τοῦ πατρός των). ἠπείγετο ἐπιθέσθαι τῇ πείρᾳ Θουκ. 7, 42 ἐβιάζετο νὰ ἐπιχειρήσῃ τὴν ἀπόπειραν ‖ ἐπιβάλλω, διατάττω· φὰς Ἀστυάγεα εἶναι τὸν ταῦτα ἐπιθέμενόν μοι Ἡρ. 1, 111 λέγων ὅτι ὁ Ἀστυάγης εἶνε ὅστις μὲ διέταξε (παρήγγειλε) ταῦτα. ταύτης δὲ περὶ ξυμπάσης συμβουλὴν πρῶτον δόντες καὶ λόγον ἐπ' αὐτῇ νόμον ὕστερον ἐπιθώμεθα Πλ. Νόμ. 918 Α ἀφ' οὗ δὲ δώσωμεν συμβουλὴν περὶ συμπάσης ταύτης (τῆς καπηλείας) καὶ κατόπιν αὐτῆς λόγον, ἂς ἐπιβάλωμεν (δώσωμεν) ὕστερον καὶ τὸν περὶ ταύτης νόμον. τόδ' ἐπέθου θύος δημοθρόους τ' ἀράς Αἰσχ. Ἀγ. 1409 ἴδ. θύος. οὐκ ἐπέθεντο τοῖς ἀτυχήσασιν (Weil: ἀτυχήμασιν) ἀλλ' ἀνθρωπίνως ἐπεκούφισαν τὰς συμφοράς Δημ. 23, 70 δὲν ἐπετέθησαν (μανιώδεις) ἐναντίον τῶν ἀτυχησάντων, ἀλλ' ἀνθρωπίνως ἀνεκούφισαν τὰς συμφορὰς αὐτῶν. Ἐν δὲ Ἰσοκρ. 2, 3 τὸ φανερῶς ἐξεῖναι τοῖς τε φίλοις ἐπιπλῆξαι καὶ τοῖς ἐχθροῖς ἐπιθέσθαι ταῖς ἀλλήλων ἁμαρτίαις καὶ εἰς τοὺς ἐχθροὺς (νὰ ἐπιτρέπηται) νὰ ψέξωσι (ἐπικρίνωσι) τὰ σφάλματα ἀλλήλων. Ἐν Ἀλκμ. Ἀπ. 64 ἔστι παρέντων (Αἰολ. ἀντὶ τοῦ παρόντων) μνᾶστιν ἐπιθέσθαι ὁ Bergk εἰκάζει τί-

θεσθαι: δύναται τις τῶν παρόντων νὰ μνημονεύσῃ.

ἐπιτῑμάω κατόπιν, ὕστερον τιμῶ π. χ. μετὰ τὸν θάνατόν του τιμῶ τινα· τὸν ἀδελφεὸν Στησαγόρην ἐπιτιμέων Ἡρ 6, 39 τιμῶν τὸν ἀδελφόν του Στησ. ἀποθανόντα (μετὰ θάνατον): πρὸς τιμήν του. τὴν ἀρχαίαν δίκην ἐπιτιμέων 4, 43 ἐπιβεβαιώνων, ἐπικυρῶν τὴν παλαιὰν τιμωρίαν. τοῖς ἐξάρνοις ἐπετιμήσατε (ὀρθοτέρα γρ. εἶνε ἐτιμήσατε) ταλάντου ἑκάστῳ Αἰσχίν. 1, 113 εἰς τοὺς ἀρνουμένους ἐπεβάλετε πρόστιμον ἑνὸς ταλάντου. ‖ καταλογίζω τι εἴς τινα ὡς σφάλμα· ἐπιτιμᾶν ὑμῖν τι πειρωμένων τῇ κατ' ἐμὲ ἀγνοίᾳ Δημ. 1472, 4 προσπαθούντων νὰ ἐπιτιμῶσιν ὑμᾶς διὰ τὴν περὶ ἐμὲ γενομένην πλάνην, ἁμαρτίαν. ἵν' εἰδῆτε ὅτι, ᾧ προσῆκε τοῖς τὸ πρῶτον ἁμαρτηθεῖσιν ἐπιτιμᾶν, οὗτος αὐτὸς πρότερος πολλῷ δεινότερ' εἴργασται Δημ. 54, 6 διὰ νὰ γνωρίζητε, ὅτι ἐκεῖνος, ὅστις εἶχε τὸ καθῆκον νὰ κατακρίνῃ σφοδρῶς τὰ τὸ πρῶτον γενόμενα σφάλματα, αὐτὸς οὗτος πρότερον διέπραξε πολὺ χειρότερα. ἀπὸ τῶν λόγῳ καλῶς ἐπιτιμησάντων Θουκ. 3, 38 ἰδ. πιστός.

ἐπιτίμησις ἡ: καὶ γὰρ οὐ τοὺς αὐτοὺς ψηφιεῖσθαί τε περὶ σφῶν καὶ τὰ πράγματα ὥσπερ καὶ αὐτοὶ ὁρῶντας καὶ οὐκ ἄλλων ἐπιτιμήσει ἀκούοντας γνώσεσθαι Θουκ. 7, 48 δὲν ἤθελον οἱ αὐτοὶ ἄνθρωποι ἀποφασίσῃ περὶ αὐτῶν καὶ δὲν ἤθελον γνωρίσῃ τὰ πράγματα βλέποντες αὐτὰ ὅπως αὐτοὶ καὶ ὄχι ἐκ τῆς ἐπικρίσεως (τῆς συκοφαντικῆς παραστάσεως) αὐτῶν μανθάνοντες αὐτά.

ἐπιτιμητής ὁ, παιδευτής, τιμωρητής, ἐλεγκτής· ὡς οὐπιτιμητής γε τῶν ἔργων βαρύς Αἰσχ. Πρ. 78 διότι ὁ ἐλεγκτὴς (κολαστὴς) τῶν ἔργων σου εἶνε βαρύς.

ἐπιτιμία ἡ, ἡ κατάστασις τοῦ ἔχοντος πάντα τὰ πολιτικὰ δικαιώματα ἐλέγετο ἐπιτιμία, ὡς ἀτιμία ἡ κατάστασις τοῦ ἐστερημένου τούτων (ἰδ. Γίλβερτ Εγχειρίδ. σελ. 247 μτφρ. Ν. Πολίτου). τὸ συνειλεγμένον εἰς τὴν ἐπιτιμίαν ἀργύριον Δημ. 18, 312 τὸ συνηθροισμένον ἀργ. πρὸς ἀνάκτησιν τῶν τοῦ πολίτου τιμῶν (τῆς ἐπιτιμίας), τὰς ὁποίας εἶχεν ἀπολέσῃ καὶ ἔγινεν ἄτιμος, διότι δὲν εἶχε νὰ πληρώσῃ τὸ ἐπιβεβλημένον πρόστιμον.

ἐπιτίμιον τό, τὸ ἐπὶ τιμῇ τινος ὄν, γιγνόμενον, τὸ εἰς τιμήν τινος χρησιμεῦον· ἀλλ' ἔστ' Ὀρέστου ταῦτα τἀπιτίμια Σοφ. Ἠλ. 915 τοῦ Ὀρέστου εἶνε αὗται αἱ εἰς τὸν πατέρα προσφερόμεναι τιμαί. ὑπ' οἰωνῶν δοκεῖ ταφέντ' ἀτίμως τοὐπιτίμιον λαβεῖν Αἰσχ. Ἑπτ. 1012 ἀπόφασις εἶνε νὰ ταφῇ ὑπὸ τῶν ὀρνέων (δηλ. ἐν τῇ κοιλίᾳ των: νὰ φαγωθῇ) καὶ μὲ τοῦτον τὸν ἄτιμον τρόπον νὰ λάβῃ τὴν ἐπιτάφιον τιμήν. τοιαῦθ' ὁρῶντες τῶνδε τἀπιτίμια μέμνησθ' Ἀθηνῶν Ἑλλάδος τε Πέρσ. 825 τοιαύτην βλέποντες τὴν ἀμοιβὴν (εἰρωνικῶς, ὅθεν: τιμωρίαν) τούτων τῶν ἔργων («ὧν ἐποίησαν καθ' ἱερῶν καὶ τῶν ἄλλων» Σχ.) ἐνθυμεῖσθε τας Ἀθήνας καὶ τὴν Ἑλλάδα. δεῖξον ἀνθρώποισι τἀπιτίμια τῆς δυσσεβείας οἷα δωροῦνται θεοί Σοφ. Ἠλ. 1382 = οἷά ἐστι τἀπιτίμια (αἱ ἀμοιβαὶ τ. ἔ. αἱ τιμωρίαι) τῆς δυσσ. ἃ δωροῦνται θεοὶ τοῖς ἀνθρώποις. δράσαντι δ' αἰσχρὰ δεινὰ τἀπιτίμια Εὐρ. Ἑκ. 1086 «δειναὶ καὶ χαλεπαὶ αἱ τιμωρίαι» Σχ. ‖ Ἐν τῷ Ἀττ. δικαίῳ ἡ ὑπὸ τῶν δικαστῶν ἐπιβαλλομένη χρηματικὴ ποινή.

ἐπιτλάω: τῷ τοι ἐπιτλήτω κραδίη μύθοισιν ἐμοῖσιν Τ 220 διὰ τοῦτο ἡ καρδία σου ἂς ὑπομένῃ (ἀκούουσα μεθ' ὑπομονῆς) ἢ ἂς ἀκούῃ τοὺς λόγους μου ἡ καρδία σου = μεθ' ὑπομονῆς ἄκουέ με.

ἐπιτολμάω κυρ. τολμῶ ἐπί τινι, τολμῶ, λαμβάνω θάρρος· σοὶ δ' ἐπιτολμάτω κραδίη καὶ θυμὸς ἀκούειν α 353 ἂς πάρῃ τὴν ἀπόφασιν, ἂς ἀναλάβῃ θάρρος ἡ καρδία σου καὶ ἡ ψυχή σου ν' ἀκούσωσι (πρβ. Τ 220). ἐπιτολμᾶν χρὴ δῶρ' ἀθανάτων, οἷα διδοῦσιν, ἔχειν (Δ. Γ. φέρειν, ἀλλὰ πρβ. 442: τολμᾷ ἔχων τὸ κακόν) Θέογν. 442 ὀφείλει τις νὰ ὑπομένῃ (νὰ δέχηται, νὰ ὑποφέρῃ) μετ' ἐγκαρτερήσεως τὰ δῶρα τῶν ἀθανάτων θεῶν, ὁποῖα τὰ δίδουσιν.

ἐπιτόνιον τὸ (ἐπιτείνω): ἡ συντροφία ὥσπερ ἐπιτόνιόν ἐστι τῆς εὐνοίας Πλουτ. π. ἀγωγ 5 (3 D) τῇ συντροφίᾳ ἐπιτείνεται ἡ εὔνοια, ἡ κοινὴ ἀνατροφὴ αὐξάνει τὴν εὔνοιαν.

ἐπιτόσσαι ἀπαρφ. ἀόρ. ὅθ. ὁριστ. ἐπέτοσσα· ἀνίκ' ἄγκυραν ποτὶ χαλκόγενυν ναΐ κρημνάντων ἐπέτοσσε Πίνδ. Π. 4, 25 ἐπέτυχεν ἡμῶν (συνέτυχεν ἡμῖν) ἐν ᾧ χρόνῳ ἐκρεμῶμεν πλησίον τοῦ πλοίου τὴν χαλκ. ἄγκυραν (ἀναβιβάσαντες αὐτήν). Ὁμοίως Π. 1, 33 ἑκατόμβας ἐπιτόσσαις θεῷ ῥέζοντας «καταλαβὼν θυσίας τελοῦντας τῷ θεῷ» Σχ.

ἐπιτραπέουσι τοῦ

ἐπιτραπέω Ἰων. ἀντὶ ἐπιτρέπω.

ἐπιτρέπω. Ἡ σύνταξις = ἐπιτρέπω τι ἢ τινά τινι ἢ ἐπί τι, ἐπιτρέπω τινί τι ἢ περί τινος ἢ μετ' ἀπρφ. Ὧραι, τῆς ἐπιτέτραπται μέγας οὐρανός Ε 750 ὁ οὐρανὸς εἶνε ἐπιτετραμμένος εἰς τὴν ἐπιστασίαν τῶν Ὡρῶν, ἐπειδὴ δι' αὐτῶν ὁρίζεται ὁ καιρὸς τῆς ἡμέρας καὶ οἱ τέσσαρες καιροὶ (ὧραι) τοῦ ἔτους. σμικραῖς ἑαυτοὺς ἐπιτρέπουσιν ἐλπίσιν Εὐρ. Ἀπ. 921 ἐμπιστεύονται ἑαυτοὺς εἰς ἀσθενῆ πλοῖα, ἅτινα παρέχουσι μικρὰς ἐλπίδας. ἦ κἀπ' ἐμοὶ τρέποιτ' ἂν (= ἐμοὶ ἐπιτρέποιτ' ἂν) αἰτίας τέλος; Αἰσχ. Εὐμ. 437 τῷ ὄντι ἠθέλατε ἀναθέσῃ εἰς ἐμὲ τὴν τελικὴν ἀπόφασιν περὶ τῆς κατηγορίας σας; οἳ τῇ γνώμῃ δῆλοι ὦσιν μὴ ἐπιτρέψοντες Θουκ. 1, 71 κατὰ δὲ τὴν προαίρεσιν δεικνύουσι (δεικνύουσι τὴν σταθερὰν ἀπόφασιν) ὅτι, ἂν ἀδικῶνται, δὲν θὰ τὸ ἐπιτρέψωσιν. Μόνον μετὰ δοτ. ἐλπίδι τὸ ἀφανὲς τοῦ κατορθώσειν ἐπιτρέψαντες Θουκ. 2, 42 ἐκ τῆς ἐλπίδος ἐξαρτήσαντες τὸ ἄδηλον τῆς μελλούσης

εὐτυχίας. ἤθελον τῷ ἐν Δελφοῖς μαντείῳ ἐπιτρέψαι Θουκ. 1, 28 ἤθελον ν' ἀναθέσωσι τὴν κρίσιν εἰς τὸ ἐν Δελφοῖς μαντεῖον ἑτοῖμος ὢν Βρασίδᾳ μέσῳ δικαστῇ ἐπιτρέπειν Θουκ. 4, 83 ν' ἀναθέσῃ τὴν περὶ τῆς ὑποθέσεως ἀπόφασιν εἰς τὸν Βρασ. ὡς ἀμερόληπτον δικαστήν. Ὁμοίως 7, 18. καὶ τοῖς εἰδόσιν ἐπιτρέπειν ἐγὼ ἐβουλόμην, τοῖς ἴσοις Δημ. 55, 9 ἤθελον ἐγὼ ν' ἀναθέσω τὴν περὶ τῆς ὑποθέσεως ἀπόφασιν εἰς τοὺς εἰδότας τὸ χωρίον, ἐννοῶ τοὺς ἀμερολήπτους ἐξ αὐτῶν. δεδιέναι δὲ περὶ τῇ πάσῃ πόλει, μή, ἐκείνων ἀποχωρησάντων, Ἀθηναῖοι ἐλθόντες σφίσιν οὐκ ἐπιτρέπωσιν Θουκ. 2, 72 φοβοῦνται δὲ καὶ δι' ὅλην των τὴν πόλιν (ὄχι μόνον διὰ τοὺς παῖδας καὶ τὰς γυναῖκας. Ἄλλοι ἄλλως), μήπως μετὰ τὴν ἀποχώρησιν ἐκείνων (τῶν Λακεδαιμονίων) οἱ Ἀθηναῖοι ἐλθόντες δὲν ἐπιτρέπωσιν εἰς αὐτοὺς τοῦτο (νὰ μένωσιν οὐδέτεροι, «ἐμμένειν τοῖς δόξασι» Σχ.). καὶ ὑμῖν ἐπιτρέπω καὶ τῷ θεῷ κρῖναι περὶ ἐμοῦ, ὅπῃ μέλλει ἐμοί τε ἄριστα εἶναι καὶ ἐμοί Πλ. Ἀπολ. 35 Ε καὶ εἰς ὑμᾶς ἀναθέτω καὶ εἰς τὸν θεὸν ν' ἀποφασίσητε περὶ ἐμοῦ, καθ' ὃν τρόπον θὰ εἶνε καλλίτερα καὶ δι' ἐμὲ καὶ δι' ὑμᾶς. καὶ νῦν ἐμαυτὸν ἐπιτρέπω σοι τουτονὶ γεροντανωγεῖν κἀναπαιδεύειν πάλιν Ἀρφ. Ἱππ. 1098 καὶ νῦν σοὶ παραδίδω τὸν ἑαυτόν μου, ὅπως εἶμαι, νά με γεροντανωγῇς καὶ νά με παιδαγωγῇς (νά μοι δίδῃς ἀνατροφὴν) ἐκ δευτέρου πάλιν· «γεροντανωγεῖν· ἔπαιξε παρὰ τὸ παιδαγωγεῖν. Τοῦτο δὲ λέγει ὁ δῆμος ὡς τοῦ Κλέωνος κατεγνωσμένου. Ὅλον δὲ τὸ ἰαμβικὸν παρῴδησεν ἀπὸ τοῦ Πηλέως Σοφοκλέους» Σχ. ἴδ. Ἀπ. Σοφ. 447. Ἐν τῷ Ἀττικ. δικαίῳ συχν. ἐπιτρέπω τινὶ τὴν δίαιταν ἀναθέτω εἰς τρίτον ὡς διαιτητὴν τὴν ἀπόφασιν περὶ τῆς διαφιλονεικουμένης ὑποθέσεως. Λυσ. 32, 2. Ἰσοκρ. 17, 19. [Δημ.] 34, 4 κἀλλ. Ἡ φράσις τὴν δίαιταν ἐπιτρέπειν ἐπὶ ῥητοῖς Ἰσοκρ. 17, 19. 18, 10 κἀλλ. σημ. ἀναθέτειν εἴς τινα τὴν διαιτησίαν μὲ ὡρισμένην συμφωνίαν, π. χ. συνεφώνουν προηγουμένως περὶ τῆς τιμωρίας, ἥτις ἤθελεν ἐπιβληθῇ εἰς τὸν καταδικασθησόμενον. Ἐπὶ τῆς ἐννοίας ταύτης εὕρηται καὶ μετ' ἀπρφ. ὡς Αἰσχίν. 1, 63 κἀλλ Ἐν [Δημ.] 40, 16 τούτῳ ἐπετρέψαμεν δικάσαι περὶ ὧν ἐνεκαλοῦμεν ἀλλήλοις ἀνεθέσαμεν εἰς τοῦτον ὡς διαιτητὴν τὴν ἐκδίκασιν τῶν ἀμοιβαίων ἀπαιτήσεών μας, ἠδύνατο βεβαίως νὰ λείπῃ τὸ δικάσαι, ὅπερ θεωρεῖ παρέγγραπτον ὁ Schodorf (ἀλλὰ πρβ. Ἰσαῖ. 2, 29)· διὸ συνήθης εἶνε ἐπὶ τοιαύτης ἐννοίας ἡ φράσις ἐπιτρέπειν τινὶ περί τινος, ἄνευ ἀπρφ. Συχνότατον δὲ τοῖς ῥήτορσιν εἶνε τὸ ἁπλοῦν ἐπιτρέπειν τινὶ ἀναθέτειν εἴς τινα τὴν διαιτησίαν. τοῖσιν γὰρ ἐπετράπομέν γε μάλιστα Κ 59 εἰς τούτους πρὸ πάντων ἐνεπιστεύθημεν. οὐ μὲν ἐπέτρεπε γήραϊ λυγρῷ Κ 79 «οὐδὲ ὑπὸ γήρως ἐνικᾶτο» Σχ. μὴ ἡλικίῃ καὶ θυμῷ ἐπίτραπε Ἡρ. 3, 36 μὴ εἶκε, μὴ ἐνδίδου. σοὶ δ' ἐμὰ κήδεα θυμὸς ἐπετράπετο στονόεντα εἴρεσθαι ι 12 σοῦ δὲ ἡ καρδία ἐπεθύμησε (ὠρέχθη) νὰ ἐρωτήσῃ διὰ τὰς πολυστενάκτους συμφοράς μου· πρβ. Οὐεργ. Αἰν. 4, 1. καὶ γὰρ οὖν ἐπίστευον αὐτῷ αἱ πόλεις ἐπιτρεπόμεναι Ξεν. Ἀν. 1, 9, 8 καὶ τῷ ὄντι λοιπὸν εἶχαν ἐμπιστοσύνην («ἐμπιστεύοντο») εἰς αὐτὸν αἱ πόλεις διορίζουσαι αὐτὸν ἐπίτροπόν των (κυρ. = ἐπιτρέπουσαι ἑαυτάς).

ἐπιτρέχω τρέχω ἐπί τι (ἐπί τινα)· οὔτι ἐπιδραμὼν πάντα τὰ διδόμενα ἐδέκετο Ἡρ. 3, 135 δὲν ἐδείκνυε μεγάλην προθυμίαν, διὰ νὰ δέχηται ὅλα τὰ προσφερόμενα εἰς αὐτόν. Τὸ οὔτι ἐπιδραμὼν ἀπολύτως: «δὲν ἔπεφτε μὲ τὰ μοῦτρα ἐπάνω εἰς αὐτά». οὐκ ἄν ποτέ που τὸ ἀπορηθὲν περὶ αὐτῶν συγχωρήσειεν ἐπιδραμὼν οὕτως εὐθύς Πλ. Νόμ. 799 C ποτὲ βεβαίως δὲν ἤθελε παραδεχθῇ ἀμέσως, ἄνευ ἐξετάσεως (οἷον ἐξ ἐπιδρομῆς), τὴν περὶ αὐτῶν σχηματισθεῖσαν ἀπορίαν. τεττάρων δὲ ταλάντων ἔνδον ὄντων, καὶ ταῦτ' ἐκείνης ἐχούσης... οὐκ ἂν ἡγεῖσθ' αὐτὸν κἂν ἐπιδραμεῖν (=κἂν δραμεῖν ἐπ' αὐτήν), ὥστε γενέσθαι μετ' ἐκείνης αὐτῶν κύριον; Δημ. 27, 56 νομίζετε ὅτι καὶ δὲν ἤθελε τρέξῃ πρὸς αὐτήν, ὥστε νὰ γίνῃ κύριος αὐτῶν μετ' (ἐξ ἡμισείας μετ') αὐτῆς; ὅταν Θρήσσαισιν ἔρεβος ὕφαλον ἐπιδράμῃ πνοαῖς Σοφ. Ἀντ. 585 «ἐκ βάθους κινήσῃ τὴν θάλασσαν» Σχ. ὅταν (τὸ οἶδμα, τὸ κῦμα) διὰ τῶν Θρακικῶν ἐναντίων πνοῶν (τοῦ βορρᾶ) ἐπιδραμὸν ἀνακινήσῃ τὸ ὑπὸ τὴν θάλασσαν σκότος (τὸν σκοτεινὸν βυθόν). λευκὴ ἐπιδέδρομεν αἴγλη ζ 45 εἶνε ἐξηπλωμένη ἀκτινοβόλος λαμπρότης (λάμψις τοῦ οὐρανοῦ). ἰταμοῦ ἤθους καὶ ἀκολάστου καὶ διεφθορότος σημεῖα τοῖς εἴδεσι τῶν γυναικῶν ἐπιτρέχει Πλουτ. 767 Β σημεῖα προκλητικοῦ καὶ ἀκολάστου καὶ διεφθαρμένου ἤθους ἐπιφαίνονται (ἐνυπάρχουσιν) ἐπὶ τοῦ προσώπου τῶν γυναικῶν. ἐκεῖνο μὴ ἀπολίπῃς, ὃ ἡμῖν ἀργότατα ἐπιδεδράμηται τοῦ λόγου Ξεν. Οἰκ. 15, 1 ἐκεῖνο τὸ μέρος τοῦ λόγου μὴ ἀπολίπῃς, οὗ ἡμεῖς ἀκροθιγῶς ἡψάμεθα. Καὶ κατωτ. 6: ἀργότερόν πως ἐπιδεδραμηκέναι τῷ λόγῳ ἐπὶ τῆς αὐτῆς ἐννοίας· καὶ ἄνευ τοῦ τῷ λόγῳ: ῥᾷόν ἐστι περὶ τῶν γεγενημένων εὐπόρως ἐπιδραμεῖν (περὶ τῶν παρελθόντων νὰ ὁμιλήσῃ τις ἐν ἐκτάσει) ἢ περὶ τῶν μελλόντων νοῦν ἐχόντως εἰπεῖν Ἰσοκρ. Ἐπιστ. 9, 6. μικρὰ ἐπιδραμοῦμαι περὶ αὐτῶν πολλῶν ὄντων Δημ. 17, 19 ὀλίγα θὰ διέλθω περὶ αὐτῶν.

ἐπιτρίβω (ῑ) τρίβων τὴν ἐπιφάνειαν πράγματός τινος φθείρω αὐτό· κἄπνιγε κἀπέτριβε Ἀρφ. Νεφ. 1376 τὸν ἔσφιγγε δυνατὰ καὶ (μὲ τοὺς γρόνθους του) τοῦ ἔτριβε (ξετίναζε) τὴν προβειά. Ὁμοίως Βατρ. 571 ἵν' αὐτὸν ἐπιτρίψωμεν γιὰ νὰ τοῦ ξετινάξωμεν τὴν προβειά. ὁ γάμος μ' ἐπέτριψεν Ἀρφ. Νεφ. 438 ὁ γ. μὲ ἀφάνισε.

ἀπολώλεκέν με κἀπιτέτριφεν ἡ γυνή Λυσ. 952 μὲ ἔχει ἀφανίσῃ. ἵνα ἐπιτρίψω τινά Σφ. 846 διὰ νὰ τρίψω κανενὸς τὴ μούρη, δηλ. διὰ νὰ τὸν καταδικάσω. ταῦτα ἐπιτρίβει με τῷ πόθῳ Λυσ. 888 ταῦτα μὲ κάμνουν νὰ δαιμονίζωμαι ἀπὸ τὴν ἐπιθυμίαν. Μέσ. τρίβομαι, ἀλείφομαι μὲ ψιμύθιον, φυκιασιδώνομαι. ἐπιτρίβομαι τὸν ὦμιον Ἀρφ. Βάτρ. 88 ἐκόπη, ἐπληγώθη (πληγώνεται) ὁ ὦμός μου (ἀπὸ τὸ βάρος). ἐπετρίβετο τυπτόμενος Νεφ. 972 ἐδέρνετο μέχρις ἐξαντλήσεως, ἔκαμνε σημάδια, ἐπιτριβείης Θεσμ. 557 = ὄλοιο, «νά σε πάρ' ὁ διάβολος». Ἐπετρίβην ἀπολέσας τὼ βόε Ἀχ. 1022 ἀπωλόμην, κατεστράφην· πρβ. «ἀλευροδαιμονίζομαι» (ἐν Λέσβῳ). ἀσκὸς ὕστερον δεδάρθαι κἀπιτετρῖφθαι γένος Σόλ. 33, 7 ἴδ. δέρω. τὰ φαλάγγια προσαψάμενα μόνον τῷ στόματι ταῖς τε ὀδύναις ἐπιτρίβει τοὺς ἀνθρώπους καὶ τοῦ φρονεῖν ἐξίστησι Ξεν. Ἀπ. 1, 3 12 τὰ φαλάγγια μόνον νὰ ἐγγίσουν μὲ τὸ στόμα των παλαβώνουν (δαιμονίζουν) τοὺς ἀνθρώπους ἀπὸ τοὺς πόνους και τοὺς βγάζουν ἀπὸ τὰ λογικά των. Οἰνόμαον (ὑποκρινόμενος) κακῶς ἐπέτριψας Δημ. 18, 180 παρεμόρφωσας, ἐλεεινὰ διέστρεψας. τοὺς ἀπόρους τῶν πολιτῶν ἐπιτρίβουσιν 18, 104 = ἐξαντλοῦσιν.

ἐπιτριηραρχέω εἶμαι πλέον τοῦ νενομισμένου χρόνου τριήραρχος. ἐπιτετριηραρχημένων ἤδη μοι δυοῖν μηνοῖν Δημ. 50, 20 ἀφ' οὗ ὑπηρέτησα ἤδη ὡς τριήραρχος δύο μῆνας περιπλέον.

ἐπίτριπτος 2 ὁ ἐπιτετριμμένος, ὁ ἐπιτριβῆναι ἄξιος· μτφ. πανοῦργος, δόλιος· τοὐπίτριπτον κίναδος Σοφ. Αἴ. 103 ἐπὶ τοῦ Ὀδυσσέως· ποῦ ἔτριψεν (ἐχάλασε) πολλαὶς προβιαίς.

ἐπιτροπή ἡ (πρβ. ἐπιτρέπω), τὸ ἐπιτρέπειν ἐξουσίαν, διαιτησία, ἐξουσιοδότησις· ἠξίουν δίκης ἐπιτροπὴν σφίσι γενέσθαι ἢ ἐς πόλιν τινὰ ἢ ἐς ἰδιώτην περὶ τῆς γῆς Θουκ. 5, 41 ἠξίουν ν' ἀναθέσωσιν ἢ εἰς πόλιν τινὰ ἢ εἰς ἰδιώτην νὰ δικάσῃ τὴν διαφοράν των περὶ τῆς γῆς. ἅμα δ' ἂν ἡβήσῃ τις τῶν ὀρφανῶν, ἐὰν ἡγῆται κακῶς ἐπιτροπευθῆναι, μέχρι πέντε ἐτῶν ἐξηκούσης τῆς ἐπιτροπῆς ἔστω δίκην λαχεῖν ἐπιτροπείας Πλ. Νόμ. 928 C συγχρόνως δὲ ἐάν τις ἐκ τῶν ὀρφανῶν γίνῃ ἔφηβος, ἐὰν νομίζῃ ὅτι κακῶς (ἐπὶ βλάβῃ τῶν συμφερόντων του) ἐπετροπεύθη, ἂς ἔχῃ τὸ δικαίωμα μέχρι πέντε ἐτῶν ἀπὸ τοῦ τέλους τῆς ἐπιτροπῆς νὰ κινήσῃ ἀγωγὴν ἐπιτροπείας (κατὰ τῶν ἐπιτρόπων). Ἔγραψα ἐπιτροπείας ἀντὶ τοῦ ἐπιτροπίας, διότι προφανῶς πρόκειται ἐνταῦθα περὶ κακῆς ἐπιτροπεύσεως ὅθεν ἐπιτροπεία παρὰ τὸ ἐπιτροπεύω.

ἐπιτυγχάνω : λεγόμενα τοῖς ἐπιτυχοῦσιν ὀνόμασι Πλ. Ἀπολ. 17 C ἴδ. καλλιεπέω.

ἐπιτύφομαι ἀνάπτω, καίω, παθ. ἐπικαίομαι, ἐπιφλογίζομαι· θηρίον Τυφῶνος μᾶλλον ἐπιτεθυμμένον Πλ. Φαῖδρ. 230 A πλέον ἐξημμένον, ἐξηρεθισμένον, μανιῶδες: «ἐπιτεθυμμένον Ἀττικῶς· ἐπιτετυφωμένον ἢ ἐπικεκαυμένον Ἑλληνικῶς» Μοῖρις. Μτφ. ὅπως ἂν ἀνὴρ ἐπιτυφῇ μάλιστά μου Ἀρφ. Λυσ. 251 «ἐπικαυθῇ καὶ πυρωθῇ ἐπ' ἐμοί» Σχ. μὲ ἐρωτευθῇ.

ἐπιτυχής 2: ἔπλευσαν ὧδ' ἐπιτυχεῖ κότῳ Αἰσχ. Ἱκ. 752 ἔπλ. ἐδῶ (ὧδε = δεῦρο), ἐν ὀργῇ τυχούσῃ τοῦ σκοποῦ, εὐστόχῳ. τοῦ μὴ ὄντος ἐπιτυχέστερος Πλ. Σίσυφ. 391 D = τοῦ μὴ ὄντος μᾶλλον τυγχάνων. Τοὐναντίον: ἀποτυχέστερος τοῦ μὴ ὄντος Αὐτόθι. (καλῶ πεπαιδευνους) πρῶτον μὲν τοὺς καλῶς χρωμένους τοῖς πράγμασι τοῖς κατὰ τὴν ἡμέραν ἑκάστην προσπίπτουσι καὶ τὴν δόξαν ἐπιτυχῆ τῶν καιρῶν (ἥτις ἐπιτυγχάνει τῶν καιρῶν) ἔχοντας καὶ δυναμένην ὡς ἐπὶ τὸ πολὺ στοχάζεσθαι τοῦ συμφέροντος Ἰσοκ. 12, 30 πρῶτον μὲν τοὺς καλῶς μεταχειριζομένους τὰ ἑκάστοτε προσπίπτοντα πράγματα καὶ κρίνοντας ἐπιτυχῶς τοὺς καιροὺς καὶ δυναμένους ὡς ἐπὶ τὸ πλεῖστον νὰ εὑρίσκωσιν εὐστόχως τὸ ἑκάστοτε συμφέρον δόξα εἶνε ἡ περὶ τῶν πραγμάτων κρίσις κατὰ Κοραῆν.

ἐπιφαίνω ἐπιδείκνυμι, παρουσιάζω· μηδὲ λίην ἐπίφαινε (ἐνν. ἐκ τῶν προηγ. κακόν. Ὁ Nauck διώρθ. μηδὲ δύην, ἄλλοι ἄλλως)· κακὸν δέ τε, Κύρν', ἐπιφαίνων (Brunck: -νειν) παύρους κηδεμόνας σῆς κακότητος ἔχεις Θέογν. 359 μηδὲ πολὺ ἀποδείκνυε («ἀπόδειχνε») τὸ κακόν (τὸ ὁποῖον ἔχεις)· ὅταν δὲ ἀποδείχνῃς τὸ κακόν σου, ὦ Κύρνε, ὀλίγους ἔχεις τοὺς συμπάσχοντάς σοι εἰλικρινῶς (κυρ. τοὺς φροντίζοντας περὶ τῆς δυστυχίας σου). ἥλιος δ' ἐπέλαμψε, μάχη δ' ἐπὶ πᾶσα φανάνθη P 650 ἐπέλαμψεν ὁ ἥλιος καὶ ἐπεφάνη ἡ μάχη πᾶσα (καθ' ὅλην τὴν ἔκτασίν της) διαπολεμῆσαι ἂν ἐπιφανεὶς δήπου οὐκ ἐνδοιαστῶς Θουκ. 8, 87 ἤθελεν ἀποπερατώσῃ τὸν πόλεμον, ἐπὶ τῇ ὑποθέσει βεβαίως ὅτι ἤθελε παρουσιασθῇ μὲ ἀναμφισβήτητον τρόπον (ἢ ὡς φίλος ἢ ὡς ἐχθρός). ἐπεφαίνετο τὰ πολλὰ σημεῖα τῇ μορφῇ Πλουτ. Γάλβ. κ. 23 ἐφαίνοντο τὰ πολλὰ σημεῖα ἐπὶ τῆς μορφῆς του.

ἐπιφέρω κυρ. φέρω τι ἐπί τινι, ἐπιβάλλω κατηγορῶ· σοὶ κοίλης παρὰ νηυσὶ βαρείας χεῖρας ἐποίσει A 89 θὰ βάλῃ ἐπάνω σου τὰς βαρείας χεῖράς του: θὰ σὲ κακομεταχειρισθῇ. ὁ δ' ὅρκος ἔσται μήποτ' Ἀργείους χθόνα ἐς τήνδ' ἐποίσειν πολέμιον παντευχίαν Εὐρ. Ἱκ. 1191 ὁ δὲ ὅρκος θὰ εἶνε, ποτὲ οἱ Ἀργεῖοι νὰ μὴ ἐκστρατεύσωσιν ἐναντίον τῆς χώρας ταύτης (κυρ. νὰ μὴ ἐπιφέρωσιν ὅπλα πάνδημα ἐναντίον τῆς χώρας ταύτης). φάσκοντες ἐς σφᾶς (τὴν ἐς προσέθηκα ἐγὼ) ἐπὶ Φύρκον τεῖχος ὅπλα ἐπενεγκεῖν Θουκ. 5, 49 ἰσχυριζόμενοι ὅτι ἐνόπλως προσέβαλον τὸ ἐν τῇ χώρᾳ αὐτῶν φρούριον Φ. (κυρ. ὅπλα ἐπήνεγκον εἰς τὴν χώραν αὐτῶν ἐναντίον τοῦ Φ.). Καὶ ἐν 1, 141, ἐν τῷ ἐπ' ἀλλήλους ἐπιφέρειν ἐνν. πολέμους.—ζηλῶ σε εὐγλωττίας· εἰ γὰρ ὧδ' ἐποίσεις, μέγιστος Ἑλλήνων ἔσῃ Ἀρφ. Ἱππ. 837

σὲ ζηλεύω διὰ τὴν εὐγλωττίαν σου· διότι ἐὰν οὕτως ἐξακολουθῇς (κυρ. «ἂν ἔτσι βαρᾷς», «ἂν τοὺς δίνῃς ἔτσι 'ς τ' αὐτιά», γενικῶς καὶ ἀπολύτως) θὰ γίνῃς μέγιστος τῶν Ἑλλήνων. Οὔτε διορθώσεως ἀνάγκη ὑπάρχει, οὔτε ἐννοεῖται ὡρισμένον τι ἀντικείμενον (διότι συνήθως λέγεται: ἐπιφέρειν χεῖρας, δόρυ, πόλεμον, πληγὴν κττ.). Ἐπὶ τῶν τοιούτων ἐκφράζονται συνήθως οὕτω γενικῶς καὶ ἀορίστως, ἤδη ἀπὸ τοῦ Ὁμήρου: Τεῦκρε, φίλη κεφαλή. , βάλλ' οὕτως, αἴ κέν τι φόως Δαναοῖσι γένηαι. Τὸ βάλλ' οὕτως ἀντιστοιχεῖ πρὸς τὸ ἐποίσεις. — (χρὴ) ὅτι ἐπ' ἐλάχιστον τὴν αἰτίαν ἐπιφέρειν Θουκ. 3, 46 εἰς ὅσον τὸ δυνατὸν ὀλιγωτέρους νὰ ἐπεκτείνωμεν τὴν ἐνοχήν. μαχλοσύνην ἐπενείκασά οἱ Ἡρ. 4, 154 κατηγορήσασα αὐτὴν ἐπὶ ἀσελγείᾳ. τὸ κοινῇ τοῖς φιλοσόφοις ὑπὸ τῶν πολλῶν ἐπιτιμώμενον ἐπιφέρων αὐτῷ καὶ διαβάλλων Ξεν. Ἀπ. 1, 2, 31 τὴν κοινῶς εἰς τοὺς φιλοσόφους ὑπὸ τῶν πολλῶν ἀποδιδομένην κατηγορίαν ἀποδίδων εἰς αὐτὸν καὶ (οὕτω) διαβάλλων αὐτόν. ἀδικίας ἐπιφερομένης Θουκ. 3, 42 ὅταν προσάπτηται ἀδικία. τίν' ἄρα μέμψιν ἐποίσει ἀνδρί; Ἀρφ. Βατρ. 1253 τίνα μομφὴν θὰ ἐπιφέρῃ κατ' ἀνδρός; οὐ δυνάμενοι ἐπενεγκεῖν ἐκ πολιτείας τι μεταβολῆς τὸ διάφορον αὐτοῖς, ᾧ προσήγοντο ἂν Θουκ. 7, 55 ἀδυνατοῦντες νὰ ἐπιφέρωσιν εἰς αὐτοὺς διά τινος τοῦ πολιτεύματος μεταβολῆς τι τὸ διάφορον, δι' οὗ θὰ προσείλκυον αὐτούς. ἐπιφέρω ὀργάς τινι 8, 83 = χαρίζομαί τινι, «κάμνω τὰ κέφια του». τὴν μουσικὴν ἀκορέστους ἐπιφέρειν ὀργὰς βροτοῖς σώφροσιν Κρατῖν. Ἀπ. 230 ἡ μουσικὴ (τ. ἔ. ἡ κωμῳδία) εὐχρέστως διαθέτει τοὺς σώφρονας ἀνθρ. (ἐν ᾧ δυσαρεστεῖ τοὺς πονηρούς). ἐστασίαζέ τε οὖν τὰ τῶν πόλεων καὶ τὰ ἐφυστερίζοντά που πύστει τῶν προγενομένων πολὺ ἐπέφερε τὴν ὑπερβολὴν τοῦ καινοῦσθαι τὰς διανοίας Θουκ. 3, 82 καὶ ἐστασίαζον λοιπὸν αἱ πόλεις καὶ αἱ ὕστερον τῶν ἄλλων στασιάζουσαι, πληροφορούμεναι τὰς προγενομένας στάσεις, προέβαινον πολὺ (εἰς μέγαν βαθμὸν) ἐν τῇ συλλήψει νέων σχεδίων. ἔχει δέ τι καὶ ἡ λέξις ἀπατηλόν, ὅταν ἡδεῖα καὶ πολλὴ ἐπιφέρηται τοῖς πράγμασι Πλουτ. 41 C ὅταν ἡδεῖα καὶ ἀφθονία ἐφαρμόζηται εἰς τὰ πράγματα (κυρ. φέρηται κατόπιν τῶν πραγμ.). ὅταν χειμὼν ᾖ καὶ θάλαττα μεγάλη ἐπιφέρηται Ξεν. Ἀν. 5, 8, 20 καὶ ἐπέρχηται (ἐφορμᾷ κατὰ τοῦ πλοίου) μεγάλη θάλασσα. ἐμεῦ θεοὶ κήδονται καί μοι πάντα προδεικνύουσι τὰ ἐπιφερόμενα Ἡρ. 1, 209 καί μοι προδεικνύουσι πάντα τὰ ἐναντίον μου ἐπερχόμενα. τὴν ἐμὴν μητέρα ἔλαβεν οὐδὲν ἐπιφερομένην Λυσ. 19, 14 οὐδεμίαν προῖκα προσκομίζουσαν = ἐπαγομένην (ὃ ἴδε). Ἡ λέξις κυριολεκτεῖται ἐπὶ τῆς προικός. Ὁ Cobet καὶ ἐν Θεοφρ. Χαρακτ. 22 τῇ γυναικὶ τῇ ἑαυτοῦ προῖκα εἰσενεγκαμένῃ διώρθ. ἐπενεγκαμένῃ, ἐν οὐ δέοντι, ὡς δεικνύει τὸ παρὰ Δημ. 27, 4 τὴν ἡμετέραν μητέρα πεντήκοντα μνᾶς εἰς τὸν οἶκον εἰσενηνεγμένην «ποῦ ἔφερε μέσα εἰς τὸ σπίτι». Παρομοίως εὕρηται καὶ τὸ ἁπλοῦν ἐν Ξεν. Οἰκ. 7, 13 σύ τε ὅσα ἠνέγκω («ἔφερες μαζί σου») πάντα εἰς τὸ κοινὸν κατέθηκας, ὅπου ἐπίσης ἐν οὐ δέοντι διώρθ. ὁ Cobet ἐπηνέγκω.

ἐπίφημι: εἰκαίως καλέουσι νόμῳ (ὅμως) δ' ἐπίφημι καὶ αὐτὸς Ἐμπεδ. Ἀπ. 9 εἰκαίως ὀνομάζουσιν, ἀκολουθῶν δὲ τὴν συνήθειαν καὶ ἐγὼ ὁ ἴδιος λέγω. Κατὰ τὴν ἄλλην γραφήν: ὅμως δὲ καὶ ἐγὼ λέγω, ἀκολουθῶν αὐτούς· ἴδ. ἐπιφθέγγομαι.

ἐπιφημίζω λέγω λόγους ἀπαισίους, κακὰ προοιωνιζομένους· καὶ δὴ καὶ ἰόντος αὐτοῦ ἐπὶ τὴν πεντηκόντερον ἐπεφημίζετο Ἡρ. 3, 124 κυρ. ἔλεγε: γραπτὸν ἦτο τοῦτο εἰς αὐτόν, τῷ ἦτο εἱμαρμένον: τὸ ἤθελον οἱ θεοί· ἔλεγε λόγους ἀπαισίους κακὰ προοιωνιζομένους. «Τὸ παρ' Ἡροδότῳ ἐπιφημίζεσθαι οὐ ταὐτόν ἐστι τῷ ἐπευφημεῖν, ἀλλὰ μαντικὴ λέξις δηλοῦσα προφοράν τινα μαντείας δι' ἀναμνήσεως ἐνυπνίου» Εὐστάθ. (ἐν Ἰλ. 28, 27), ἅτινα δὲν εἶνε λίαν σαφῆ. || ταύτῃ μοι δοκεῖ ἐπιφημίσαι τἀγαθὸν λυσιτελοῦν Πλ. Κρατ. 417 C κατὰ ταύτην τὴν ἔννοιαν μοὶ φαίνεται ὅτι ἐπωνόμασε τὸ ἀγαθὸν «λυσιτελοῦν». || ἀποδίδω θεῷ τινι τὴν αἰτίαν πράγματός τινος· ἑκάστῃ μοίρᾳ θεὸν ἢ θεῶν παῖδα ἐπιφημίσαντες Πλ. Νόμ. 771 D εἰς ἑκάστην μοῖραν ἀποδόντες ὡς προστάτην θεόν τινα ἢ θεῶν παῖδα. χρὴ ὅσα τις πράττει τοὺς θεοὺς ἐπιφημίζων, τοιαῦτα φαίνεσθαι οἷα μηδ' ἂν ἐπ' ἀνθρώπου πραχθέντα πονηρὰ φανείη Δημ. 20, 126 πρέπει ὅσα τις πράττει ἐν ὀνόματι τῶν θεῶν δῆθεν (προφασιζόμενος τὸ ὄνομα τῶν θεῶν, λέγων ὅτι οἱ θεοὶ τὸ θέλουν) νὰ φαίνωνται τοιαῦτα, ὁποῖα καὶ ἐν ὀνόματι ἀνθρώπου πραχθέντα δὲν ἤθελον φανῇ πονηρά. κείνῳ (Ἀχιλλεῖ) παῖδ' ἐπεφήμισα νυμφείους εἰς ἀγκώνων εὐνὰς ἐκδώσειν λέκτροις Εὐρ. Ἰ. Α. 130 ὑπεσχέθην ὅτι θὰ ἐκδώσω εἰς γάμον (λέκτροις) τὴν κόρην μου πρὸς ἐκεῖνον εἰς νυμφικοὺς (συζυγικοὺς) ἐναγκαλισμούς. εἰωθότες ἅπασι τοῖς μεγάλοις ἐπιφημίζειν τὸ δαιμόνιον Πλουτ. Ποπλ. 23 ν' ἀποδίδωσι πάντα τὰ μεγάλα ἔργα (κατορθώματα) εἰς τὸ δαιμόνιον (θείαν τινὰ δύναμιν). τὴν ἔξω φορὰν ἐπεφήμισεν εἶναι τῆς ταὐτοῦ φύσεως, τὴν δ' ἐντὸς τῆς θατέρου Πλ. Τιμ. 36 C τὴν ἔξω περιφορὰν ἐπωνόμασε κατὰ τὴν ταὐτοῦ φύσιν, τὴν δὲ ἐκτὸς κατὰ τὴν θατέρου φύσιν.

ἐπιφθέγγομαι κυρ. = φθέγγομαι ἐπί τινι· ἐγὼ δ' ἐπιφθέγγομαι κεκλαυμένα Αἰσχ. Χο. 455 κυρ. κατόπιν τοῦ προηγ. φθέγγομαι, ἀκολουθῶν (ἐπιδοκιμάζων) τὸν προηγούμενον, ὅθεν φθέγγομαι ἐπιδοκιμάζων: ἐπιδοκιμάζω, ἐπικροτῶ.

ἐπίφθονος 2: οἴκῳ (οἴκτῳ Scaliger) γὰρ ἐπίφθονος

Ἄρτεμις ἁγνά, πτανοῖσιν κυσὶ πατρός Αἰσχ. Ἀγ. 139 ἡ ἁγνὴ Ἄρτ. διάκειται ἐχθρικῶς πρὸς τὸν οἶκον (τοῦ Ἀγαμ.), ὡς δύναταί τις νὰ συμπεράνῃ ἐκ τῶν πτερωτῶν κυνῶν τοῦ πατρός της (δηλ. τῶν ἀετῶν οἵτινες κτλ.). Ὀρθὴ φαίν. ἡ διόρθ. οἴκτῳ: ἡ ἁγνὴ Ἄρ. ἐξ οἴκτου (πρὸς τὸν θυόμενον λαγωὸν) εἶνε δυσμενὴς πρὸς τοὺς ἀετούς, οἵτινες ἔτρωγον τὸν λαγωόν. ἐπίφθονόν τι χρῆμα θηλείας φρενός Εὐρ. Ἀνδρ. 181 ἡ θήλεια φρὴν εὐεπίφορός ἐστιν εἰς φθόνον (ζηλότυπος). τὸ τῇδε κάρτ' ἐπίφθονον γένος Αἰσχ. Ἱκ. 207 οἱ ἐν ταύτῃ τῇ χώρᾳ εἶνε λίαν ἐπιρρεπεῖς εἰς μομφήν. λοιδορῆσαι τοὺς πονηροὺς οὐδέν ἐστ' ἐπίφθονον Ἀρφ. Ἱππ. 1274 οὐδόλως εἶνε ἐπίμεμπτον· κυρ. ἐπὶ τῷ φθόνῳ ἐστί εἶνε εἰς τὴν ἐξουσίαν τοῦ φθόνου· ὅθεν καὶ ἐπίφθονός εἰμι = εἶμαι ἐκτεθειμένος εἰς τὸν φθόνον. ἀναγκαίῃ ἐξέργομαι γνώμην ἀποδέξασθαι ἐπίφθονον πρὸς τῶν πλεόνων ἀνθρώπων Ἡρ. 7, 139 βιάζομαι ὑπὸ τῆς ἀνάγκης νὰ ἐκφράσω γνώμην, ἥτις δύναται νὰ κινήσῃ τὸν φθόνον τῶν περισσοτέρων ἀνθρώπων (καὶ μάλιστα τῶν Σπαρτιατῶν). μηδ' εἵμασι στρώσασ' ἐπίφθονον πόρον τίθει Αἰσχ. Ἀγ. 912 μηδ' ἱματίοις (πορφυροῖς) ἐπιστρώσασα τὴν εἴσοδον ποίει μοι αὐτὴν νεμεσητήν. ἡμετέροις ἐφόδοις μελανείμοσιν ὀρχησμοῖς τ' ἐπιφθόνοις ποδός Εὐμ. 372 ἴδ. ἔφοδος. εἴ τῳ θεῶν ἐπίφθονοι ἐστρατεύσαμεν Θουκ. 7, 77 = ἐὰν ἐν τῇ εἰς Σικελίαν στρατείᾳ τὸν φθόνον τῶν θεῶν τινος ἐκινήσαμεν τοῖς Ἕλλησιν ἐπιφθόνως διακεῖσθαι 1, 75 ἴδ. διάκειμαι.

***ἐπιφλέγω*:** πόλιν ἐπιφλέγων ἀοιδαῖς Πίνδ. Ο. 9, 24 ἐπιλαμπρύνων δι' ᾀσμάτων τὴν πόλιν· τῶν εὐφροσύνα καὶ δόξ' ἐπιφλέγει Π. 11, 45 ἀναλάμπει, ἐκλάμπει. σάλπιγξ ἀϋτῇ πάντ' ἐκεῖν' ἐπέφλεγεν Αἰσχ. Πέρ. 398 «τὰ τῶν Ἑλλήνων ἐξέκαιε καὶ ἀνήγειρεν ἡ σάλπιγξ» Σχ. ἄλλος Σχ. «λαμπρῶς ἐπεῖχε» τ. ἔ. ἐγέμιζεν ὅλον τὸν τόπον μὲ τὴν φωνήν της.

ἐπίφορος 2 ὁ ἐπί τι φέρων, ὠθῶν τι ὄπισθεν πρός τι μέρος, φορός, ἐπὶ εὐνοϊκοῦ ἀνέμου· εἰ ἄνεμος ἐπεγένετο τῇ φλογὶ ἐπίφορος ἐς τὴν πόλιν Θουκ. 3, 74 ὁ ὁποῖος νὰ φέρῃ (διευθύνῃ) τὴν φλόγα εἰς τὴν πόλιν· πρβ. 2, 77. παῖς ὁ Μαίας ἐπιφορώτατος Αἰσχ. Χο. 810 ἴδ. συλλαμβάνω.

ἐπιφρίσσω ἀνατριχιάζω· ἴδ. ἐπὶ τῆς θαλάσσης, ἧς ἡ ἐπιφάνεια «ἀνατριχιάζει», ἐλαφρῶς κυμαίνει (καὶ μαυρίζει), ἔχει τρόπον τινὰ ἓν εἶδος «ἀνατριχίλας» (ταχέως ἐξαπλουμένης· πρβ. μέλαινα φρίξ)· αὐτὰρ ἐχίνοις ὀξυβελεῖς χαῖται νώτοις ἐπιπεφρίκασιν Ἀπ. Ἐμπεδ. 83 (Πλουτ. 98 D) εἰς τὰ νῶτα τῶν ἐχίνων (κυρ. εἰς τοὺς ἐχίνους εἰς τὰ νῶτά των) ἀνατριχιάζουν (εἶνε ὄρθιαι) χαῖται ὀξυβελεῖς (δηλ. αἱ ἄκανθαι, αἱ βελόναι τῶν ἐχίνων).

***ἐπιφύω*:** πολλῶν ὄντων καὶ καλῶν ἐν τῷ τῶν ἀνθρώπων βίῳ τοῖς πλείστοις αὐτῶν οἷον κῆρες ἐπιπεφύκασιν αἵ... καταρρυπαίνουσιν αὐτά Πλ. Νόμ. 937 D ἐν ᾧ δὲ πολλὰ καλὰ ὑπάρχουσιν ἐν τῷ βίῳ τῶν ἀνθρώπων, εἰς τοὺς πλείστους ἐξ αὐτῶν εἶναι προσκεκολλημέναι φυσικὰ ὡσὰν λύμαι τινές, αἵτινες καταρρυπαίνουσιν αὐτά. ὅπερ οὖν εἰκὸς τοῦ λόγου λεχθέντος ἐπεραίνετο, τῶν μὲν ἐπιφυομένων τῷ δόγματι, τῶν δ' ὑπερδικούντων Πλουτ. 694 E ἀφ' οὗ ἐλέχθη ὁ λόγος, ἐγίνετο ἐκεῖνο, τὸ ὁποῖον ἦτο ἑπόμενον: ἄλλοι μὲν ἐπέκρινον τὴν δοξασίαν ταύτην, ἄλλοι δὲ τὴν ὑπερησπίζοντο.

ἐπιχαίρω χαίρω ἐπί τινι (συνήθως κακῷ)· σὲ μὲν εὖ πράσσοντ' ἐπιχαίρω Σοφ. Αἴ. 136 ὅταν σὺ εὐτυχεῖς, εὐχαριστοῦμαι διὰ τοῦτο. οἱ δ' οὖν γελώντων κἀπιχαιρόντων κακοῖς τοῖς τοῦδε Σοφ. Αἴ. 961 οὗτοι ἐπὶ τέλους ἂς γελῶσι καὶ ἂς ἐπιχαίρωσι διὰ τὰ κακὰ τούτου.

ἐπίχᾰρις 2 χαριτωμένος, θελκτικός, ἀγαπητός, χαριστικός. οὐδ' ἐπίχαρις Ἄρης Αἰσχ. Ἑπτ. 894 τ. ἔ. οὐδετέρῳ ἐχαρίζετο. ἐπιχαριτώτατος Ξεν. Κ. Π. 8, 2, 2. ἐπιχαριτώτατος Οἰκ. 7, 37.

ἐπίχαρτος 2 ᾧ ἐπιχαίρομεν, κεχαρισμένος, χαροποιός. Αἰσχ. Ἀγ. 773. ὡς εἰς ἐπίχαρτον τελέουσ' ἀεκούσιον ἔργον Σοφ. Τρ. 1263 «ὡς εἰς ἐπίχαρτον ἅμα καὶ ἀκούσιον πρᾶγμα χωροῦσα» Σχ. νῦν δ' αἰθέριον κίνυγμ' ὁ τάλας ἐχθροῖς ἐπίχαρτα πέπονθα Αἰσχ. Πρ. 167 νῦν δὲ ἐν τῷ ἀέρι σαλευόμενον εἴδωλον ὢν (παίγνιον τῶν ἀνέμων) πέπονθα δεινά, ἐφ' οἷς ἐπιχαίρουσιν οἱ ἐχθροί. οἴκτου ἀξιώτεροι τυγχάνειν οἱ ἀπρεπές τι πάσχοντες, οἱ δὲ δικαίως τὰ ἐναντία ἐπίχαρτοι εἶναι Θουκ. 3, 67 εἶνε ἄξιοι, ἀξίζουν, ὥστε νὰ χαίρῃ τις διὰ τὰ κακὰ τὰ ὁποῖα πάσχουν.

ἐπιχειλής 2 = ἐπὶ τοῖς χείλεσιν ὤν, φθάνων ἕως κοντὰ εἰς τὰ χείλη (πρβ. ἐπὶ θαλάσσῃ, ἐπὶ ποταμῷ κττ.). Ὅθεν ὀρθῶς ὁ Πολυδ. ἐνδεὲς ἐξηγεῖ τὸ ἐπιχειλὲς τ. ἔ. οὐχὶ ἐντελῶς πλῆρες. Ὀρθῶς δ' ἔχει τὸ παρ' Ἀρφ. Ἱππ. 814 ἐποίησεν τὴν πόλιν ἡμῶν μεστὴν εὑρὼν ἐπιχειλῆ τ. ἔ. ὁ Θεμ. εὑρὼν τὴν πόλιν ἡμῶν ὄχι ἐντελῶς πλήρη, ἔκαμεν αὐτὴν πλήρη, τὴν ἀπεγέμισεν.

ἐπιχειρέω ἐπιβάλλω χεῖρά τινι, βάζω τὸ χέρι μου ἐπάνω· ἐπιτίθεμαι, προσβάλλω. προσπαθῶ ν' ἀποδείξω τι· ἆρ' οὖν οὕτως ἡμῖν ἐπιχειρητέον ἐστὶ τῇ πόλει καὶ τοῖς πολίταις θεραπεύειν; Πλ. Γοργ. 513 E τὸ θεραπεύειν εἶνε συμπληρωμ. ἐπεξήγησις τοῦ ἐπιχειρητέον = δεῖ ἐπιχειρεῖν. πρὸς τὸ ἐπιχειρεῖσθαι ἀσφαλέστατοι Θουκ. 2, 11 ἀσφαλέστ. πρὸς τὰς προσβολὰς τῶν ἐναντίων. ὥστε οὐδὲν ἂν γένοιτο θαυμαστὸν προϊούσης τῆς ἡλικίας, εἰ περὶ αὐτούς τε τοὺς λόγους, οἷς νῦν ἐπιχειρεῖ, πλέον ἢ παίδων διενέγκοι τῶν πώποτε ἁψαμένων λόγων Πλ. Φαῖδρ. 279 A κυρ. οὐδόλως θὰ ἦτο θαυμαστόν, ἂν προϊούσης τῆς ἡλικίας εἰς αὐτοὺς τοὺς λόγους, εἰς τοὺς ὁποίους

τώρα ἀσχολεῖται, ἤθελε διακριθῇ μεταξὺ (ἐκ) πάντων ἐκείνων, ὅσοι μέχρι σήμερον ἥψαντο λόγων, περισσότερον παρὰ ἂν ἦσαν παῖδες. κἄλλως ὁ μέν γ' Εὐριπίδης, πανοῦργος ὤν, κἂν ξυναποδρᾶναι δεῦρ' ἐπιχειρήσειέ μοι 'Αρφ. Βατ. 81 ὁ μὲν Εὐριπίδης τοὐλάχιστον, ἐπειδὴ εἶνε πανοῦργος, ἴσως ἤθελεν ἐπιχειρήσῃ καὶ νὰ δραπετεύσῃ μετ' ἐμοῦ διὰ νὰ ἔλθῃ ἐδῶ (εἰς τὸν ἐπάνω κόσμον). οἷς ('Αθηναίοις) τὸ μὴ ἐπιχειρούμενον αἰεὶ ἐλλιπὲς ἦν τῆς δοκήσεώς τι πράξειν Θουκ. 4, 55 ἴδ. ἐλλιπής. μέγιστος ἤδη διάπλους ἀπὸ τῆς οἰκείας καὶ ἐπὶ μεγίστῃ ἐλπίδι τῶν μελλόντων πρὸς τὰ ὑπάρχοντα ἐπεχειρήθη 6, 31 τότε ἐπεχειρήθη διάπλους ἀπὸ τῆς πατρίδος (μέχρι Σικελίας) μακρότατος καὶ εἰς μεγίστην στηριζόμενος προσδοκίαν ἐκ τῶν μελλόντων (ἐλπίδα περὶ τῶν μελλ.) ἐν σχέσει πρὸς τὰ ὑπάρχοντα εἰς αὐτούς. πῶς μὲν ἐνδέχεται εἶναι ἐκ τοῦ ἑνὸς καὶ πλήθους τὸν ἀριθμὸν οὐθὲν ἐπιχειρεῖται 'Αριστοτ. Μ. φυσ. 9 (1085b 6) πῶς μὲν εἶνε δυνατὸν ὁ ἀριθμὸς νὰ προέρχηται (νὰ εἶνε σύνθετος) ἐκ τοῦ ἑνὸς καὶ τοῦ πλήθους, οὐδόλως ζητοῦσι νὰ ἐξηγήσωσιν.

ἐπιχείρησις ἡ: τοὺς Κορινθίους προκαταλαμβάνοντας ἡμᾶς νῦν ἐς τὴν ὑμετέραν ἐπιχείρησιν Θουκ. 1, 33 = ἵνα ἐπιχειρήσωσιν ὑμῖν: ἵνα κατόπιν ἐπιτεθῶσι καθ' ὑμῶν. διὰ τὸ ταχεῖαν τὴν ἐπιχείρησιν ποιεῖσθαι ὧν ἂν γνῶσι Θουκ. 1, 70 διότι ταχέως ἐπιχειροῦσι τὴν ἐκτέλεσιν τοῦ σχεδίου των.

ἐπίχειρον τό, μόνον πληθ. ἐπίχειρα, ὁ διὰ τὴν ἐργασίαν τῶν χειρῶν δεδεγμένος μισθὸς (πρβ. «γειὰ 'ς τὰ χέρια σου» ὅπερ λέγεται πρὸς τοὺς χειροτέχνας, ὅταν δίδωνται πρὸς αὐτοὺς τὰ ἐπίχειρα, οὐ μόνον ὁ μισθός, ἀλλὰ καὶ μικρόν τι δῶρον «μπαξίς»), ἀργύριον διδόμενον εἰς βεβαίωσιν συμφωνίας περὶ πωλήσεως πράγματός τινος, μισθός, πληρωμή. τοιαῦτα μέντοι τῆς ἄγαν ὑψηγόρου γλώσσης τἀπίχειρα γίγνεται Αἰσχ. Πρ. 334 τοιαύτη ὅμως εἶνε ἡ ἀνταμοιβὴ τῆς ἄγαν μεγαλορρήμονος (κομπαστικῆς) γλώσσης· ὅπου ὁ Σχ. «τἀπίχειρα: τὰ ὑπὲρ τὸν μισθὸν διδόμενα τοῖς χειροτέχναις». οὔτε ξιφέων ἐπίχειρα λαχοῦσα Σοφ. 'Αντ. 820 οὔτε διὰ τοῦ ξίφους φονευθεῖσα (κυρ. λαβοῦσα τὴν ἀνταπόδοσιν, τὴν ἀμοιβὴν τοῦ ξίφους). ταύτης ἡμῖν ἐπίχειρα ἐν φορβειᾷ ἔξοδον ηὔλησε 'Αρφ. Σφ. 581 εἰς ἀπόδοσιν (ἀμοιβὴν) τῆς νίκης ταύτης φορέσας φορβειὰν αὐλεῖ εἰς ἡμᾶς ἀπερχομένους ᾆσμα ἐξόδιον. ἀρετὴ τῶν ἐν ἀνθρώποις μόνη οὐκ ἐκ θυραίων τἀπίχειρα λαμβάνει, αὐτὴ δ' ἑαυτὴν ἆθλα τῶν πόνων ἔχει 'Απ. 'Αδέσ. Τρ. 116 δὲν λαμβάνει τὴν ἀμοιβήν της ἐκ τῶν ἔξωθεν, αὐτὴ δὲ ἑαυτὴν ἔχει βραβεῖον τῶν κόπων της.

(«δὲν ζηλεύω τὴν ψευδῆ σοφίαν, πρβ. στ. 395) οὐδὲ χαίρω θηρεύουσα αὐτήν, ἀλλὰ τὰ ἕτερα (ἐκεῖνα χαίρω θηρεύουσα), ἅ ἐστι μεγάλα καὶ φανερά, ὅτι δηλ. ἡμέρας τε καὶ νυκτὸς (κυρ. τὴν ἡμέραν καὶ ἕως εἰς τὴν νύκτα) ἐπὶ τὴν ἀρετὴν (ἐπὶ τὰ καλὰ ἔργα) κατευθύνοντα τὸν βίον εὐσεβεῖν χρή, τὰ δὲ τοῖς ἱεροῖς θεσμοῖς ἐναντιούμενα νόμιμα (τῶν ἀνθρώπων) ἐκβαλόντα τιμᾶν θεούς. Σημειωτέον ὅτι μετὰ τὸ θηρεύουσα ἔθηκεν εὖ ἄγοντ' καὶ ἐκβαλόντ' ἐπὶ τὸ γενικώτερον: δηλ. κατευθύνων τις τὸν βίον ἐπὶ τὴν ἀρετὴν νὰ εὐσεβῇ, κατ' ἐπεξήγησιν εἰς τὸ τὰ δ' ἕτερα, κείμενον ἐπὶ ἰσχυρᾶς ἀντιθέσεως. Πλὴν τῆς διορθ. τοῦ Musgrave καὶ τῆς ὀρθῆς συντάξεως τοῦ τὰ δ', ἡ ἐδηλώθη ἀνωτ., οὐδὲν ἄλλο ἀπαιτεῖται εἰς ὀρθὴν κατανόησιν τοῦ χωρίου. τὸν φθόνον δὲ πρόσκυσον μή σοι γενέσθαι πολύπον' αὐτὰ Σοφ. Φιλ. 776, ἴδε πολύπονος.

φθόρος ὁ: οὐκ ἐς φθόρον σιγῶσ' ἀνασχήσῃ τάδε; Αἰσχ. Ἑπτ. 238 δὲν πᾶς 'ς τὸ διάβολο καὶ νὰ κρατήσῃς τὸ στόμα σου καὶ νὰ μὴ φωνάζῃς;

φῖλαι, φίλατο, ἴδ. φιλέω.

φιλέω ὁμαλόν, Λεσβ. φίλημι Ἀπ. Σαπφ. 78. γ΄ πλ. φιλεῦντι Δωρ. Θεοκρ. 5, 80. Ἀπρφ. ἐν. φιλήμεναι Χ 265, Δωρ. μέλλ. φιλάσω Θεοκρ. 23, 31. Δωρ. ἀόρ. ἐφίλᾱσα Θεόκρ. 15, 100. Παθ. ἐφίλᾱθεν 7, 60 κέ. Ἀλλὰ παρὰ Πινδ. ἐφίλησα Π 2, 16. 9, 18 κατὰ τοὺς ἀρίστους κώδ. πρβ. Ν. 5, 44. 7, 88. ἐφίληθεν = -ήθησαν Β 668. φιλήσομαι παθ. α 123. ο 281. Ἀντιφ. 1, 19. φιληθήσομαι Ἐπίκτ. π. Στοβ. 46, 88. πεφιλήσομαι Καλλίμ. Δῆλ. 270. Ἀόρ. μέσ., ὡς ἐκ τοῦ φίλλω = ἐφίλησα: ἐφίλαο Ἀνθ. 5, 289, ἐφίλατο Ε 61, φίλατο Υ 304. Ἐπιγρ. Ἑλλ. 280, 2 (μετὰ δοτ. ἐμοὶ μέγα φίλατ' Ἰήσων Ἀπολλ. Ῥ. 3, 66), φίλαντο Ἀπ. Ῥ. 3, 1002, ὑπ. φίλωμαι Ἡσ. Θε. 97. Ὕμν. Δήμ. 117. Προστ. φῖλαι Ε 117. Κ 280. φιλάμενος μετὰ δοτ. ἀγαπητὸς Ἑλλ. Ἐπιγρ. 580, 2. Ἀόρ. β΄ φίλετο Ὀρφ. Ἀργ. 512 καὶ 724 ἄνευ Δ. Γ., ἀλλὰ μετεγράφη, ἕνεκα τοῦ μακροῦ ι, εἰς φίλατο. εἰ δὲ καὶ Ἕκτορά περ φιλέεις καὶ κήδεαι αὐτοῦ Η 204 εἰ δὲ καὶ Ἕκτορα φιλεῖς καὶ φροντίζεις αὐτοῦ. τὸ καλὸν πεφιλημένε Θεόκρ. 3,3 ἴδ. καλός. ὁ δ' ὄλβιος, ὅντινα Μοῦσαι φίλωνται Ἡσ. Θεογ. 97 οὗτος δὲ ὄλβιος, ὃν ἂν αἱ Μοῦσαι φιλήσωσι. τἆλλα καὶ φιλώμεθα: παροιμία ἐπὶ τῶν ἐν μὲν τοῖς ἄλλοις συγχωρούντων, ἃ βούλονταί τινες, ἐνὶ δέ τινι μηκέτι· σημαίνει δὲ οἷον τἆλλα φίλοι ὦμεν, κατὰ δὲ τοῦτο διαφερώμεθα» Ἀ. Β. 65, 25· πρβ. τὸ ἡμέτερον: «ἂν θέλεις νὰ εἴμεθα φίλοι», παρομοίως λεγόμενον. παρ' ἄμμι φιλήσεαι α 123 θὰ φιλοξενηθῇς παρ' ἡμῖν. κεῖθι φιλήσεαι οἷά κ' ἔχωμεν ο 281 θὰ φιλοξενηθῇς ἐκεῖ μὲ ὅ τι ἔχομεν, «μὲ τὸ εὑρισκάμενο». τὸν φιλέοντα ἐπὶ δαῖτα καλεῖν, τὸν δ' ἐχθρὸν ἐᾶσαι Ἡσ. Ἔργ. 342 τὸν φιλοῦντα προσκαλεῖν εἰς δεῖπνον, τὸν δ' ἐχθρὸν (τὸν μισοῦντα) χαίρειν ἐᾶσαι. οὐκ ἐξ ἅπαντος δεῖ τὸ κερδαίνειν φιλεῖν Σοφ. Ἀντ. 312 οὐκ ἐξ ἅπαντος τρόπου δεῖ φιλεῖν τὸ κέρδος. αἰσχρῶν γὰρ ἀργός, μὴ κακὸς δ' εἶναι φιλεῖ Αἰσχ. Ἑπτ. 398 αἰσχρῶν γὰρ (ἔργων) ἀλλότριός τε καὶ ἀμέτοχος οὐ κακὸς (δειλὸς) εἶναι φιλεῖ. Ἰφιγένειά νιν ἀσπασίως θυγάτηρ, ὡς χρή, πατέρ' ἀντιάσασα πρὸς ὠκύπορον πόρθμευμ' ἀχέων περὶ χεῖρε βαλοῦσα φιλήσει Ἀγ. 1554 Ἰφιγένεια ἡ θυγάτηρ ὑπαντήσασα αὐτῷ πρὸς Ἀχέροντα, ὃς ἄχεα βροτοῖσι πορθμεύει (= πρὸς πόρθμευμα κατὰ τὸ Ἀπ. Λικυμν. 1), περιβαλοῦσα τὼ χεῖρε φιλήσει αὐτὸν ἀσπασίως,ὡς χρὴ (θυγατέρα φιλῆσαι πατέρα). ἀλλήλους φιλέουσι τοῖσι στόμασι,ἢν δὲ ᾖ οὕτερος ὑποδεέστερος ὀλίγῳ, τὰς παρειὰς φιλέονται Ἡρ. 1, 134 φιλοῦσιν ἀλλήλους εἰς τὰ στόματα, ἂν δὲ ὁ εἷς ἐκ τῶν δύο εἶνε ὀλίγον κατώτερος, φιλοῦνται εἰς τὰς παρειάς. φιλεῖ ὠδῖνα τίκτειν νὺξ κυβερνήτῃ σοφῷ Αἰσχ. Ἰκ. 769, ἴδε τίκτω.

φιλήνιος: 2 ὑφ' ἅρμα τ' ἤγαγον φιληνίους ἵππους Αἰσχ. Πρ. 481=ἀγαγὼν ἐποίησα φιληνίους.

φιλήτωρ -ορος παθ. ἡ φιλήτωρ Αἰσχ. Ἀγ. 1447 ἡ ἐκ ψυχῆς φιλουμένη» Σχ. ἴδ. φιλητός.

φιλία, Ἰων φιλίη, ἡ: χρῆν μετρίας εἰς ἀλλήλους φιλίας θνητοὺς ἀνακίρνασθαι Εὐρ. Ἱππ. 254, ἴδ. ἀνακίρναμαι. ἔστιν δὲ πρᾶξαι μέν, ἀγνοοῦντας δὲ πρᾶξαι τὸ δεινόν, εἶθ' ὕστερον ἀναγνωρίσαι τὴν φιλίαν, ὥσπερ ὁ Σοφοκλέους Οἰδίπους (Τύραννος) Ἀριστοτ. Ποι. κεφ. 14 σ. 1453 b 29 εἶνε δὲ δυνατὸν νὰ πράξωσι μέν, ἀλλὰ ἀγνοοῦντες τὴν δεινὴν πρᾶξιν νὰ πράξωσιν αὐτήν, ἔπειτα ὕστερον ν' ἀναγνωρίσωσι τὴν στενὴν (συγγενικὴν) σχέσιν, ἥτις ὑπάρχει, ὡς κλ.

φίλιος 3 παρὰ τοῖς Ἀττ. καὶ 2: νὺξ φιλία (εὐμενὴς) μεγάλων κόσμων κτεάτειρα Αἰσχ. Ἀγ. 367, ἴδε κτεάτειρα. τὸ Ἄργος ἀεὶ ἠπίσταντο ἐπιθυμοῦντας τοὺς Λακεδαιμονίους καλῶς σφίσι φίλιον γενέσθαι Θουκ. 5, 36 οἱ Βοιωτοὶ καλῶς ἤξευρον, ὅτι οἱ Λακεδαιμ. πάντοτε ἐπεθύμουν, ὅπως τὸ Ἄργος διατηρήσῃ φιλικὰς σχέσεις μὲ αὐτοὺς ἐπὶ εὐνοϊκοῖς ὅροις (κατ' ἄλλους ἐντίμως). ἐν φιλίᾳ Ξεν. Κ Π. 1, 6, 9 ἐνν. χώρᾳ, γῇ: ἐν φιλικῇ χώρᾳ. κλύειν φίλιον Εὐρ. Ἡρ. Μ. 751 = ἥδιστον ἀκούειν.

φίλημι Αἰολ = φιλῶ.

φιλογηθής 2 Δωρ φιλογαθής, ὁ φιλῶν γηθεῖν (τὸ γῆθος).

φιλόθυτος 2 ὁ φιλῶν τὰς θυσίας, εὐχαρίστως (συνήθως) θυσιάζων· φιλοθύτων πόλεος ὀργίων μνήστορες ἔστε μοι Αἰσχ. Ἑπτ. 162 τῶν θυσιῶν, ἃς μετὰ χαρᾶς (ἀσμένως, προθύμως) προσφέρει ἡ πόλις.

φιλοκαλέω εἶμαι φίλος τοῦ καλοῦ (ὡραίου)· φιλοκαλοῦμεν μετ' εὐτελείας Θουκ. 2,40 ἀγαπῶμεν τὸ καλόν, τὰς

ὡραίας τέχνας μετὰ μικρᾶς δαπάνης ἴδ. φιλοσοφῶ.

φιλον(ε)ικέω: φοβοῦμαι οὖν διελέγχειν σε, μή με ὑπολάβῃς οὐ πρὸς τὸ πρᾶγμα φιλονικοῦντα λέγειν, τοῦ καταφανὲς γενέσθαι, ἀλλὰ πρὸς σέ Πλ Γοργ. 457 Ε φοβοῦμαι νά σε ἐξελέγχω λεπτομερῶς, (διότι φοβοῦμαι) μήπως ὑπολάβῃς ὅτι ὁμιλῶ ὄχι ἐκ ζήλου καθαροῦ ὑπὲρ τοῦ προκειμένου ζητήματος, ἵνα διαφωτισθῇ, ἀλλὰ φιλονικῶν πρὸς σὲ (ἐκ πνεύματος ἀντιλογίας). Ἄλλα πρδγ. καὶ τὰ τῆς ὀρθογραφίας ἴδε ἑφεξῆς.

φιλον(ε)ικία ἡ (φιλόν(ε)ικος, φιλον(ε)ικῶ). Ἡ ἱστορία τῆς λέξεως ‘ αὐτῆς, καθ' ὅσον δύναταί τις νὰ κρίνῃ ἐκ τῶν ὑπαρχόντων πρδγ., ἔχει ὧδε ἐν συντόμῳ. Κατ' ἀρχάς, ὅτε τὸ γλωσσικὸν αἴσθημα ἦτο πλέον ζωηρὸν καὶ πλέον ἀνεπτυγμένον, ἡ λέξις αὕτη εἶχεν ἣν ἔννοιαν παρέχουσιν ἡμῖν τὰ συνθετικὰ αὐτῆς μέρη: φιλία (ἐπιθυμία, ἔρως) νίκης. Εἶτα δὲ ἡ ἔννοια αὕτη, ἕνεκα τοῦ παρομαρτοῦντος τῇ νίκῃ ἀγῶνος, καὶ ζήλου καὶ ἁμίλλης (ὅλος δὲ ὁ βίος τῶν ἀρχαίων Ἑλλήνων ἦτο ἀγὼν καὶ ἅμιλλα), παρεκτραπεῖσα κατήντησε νὰ εἶνε: σπουδή, ἀγὼν νίκης, προσπάθεια, ὅπως νικήσῃ τις, ἐπικράτησις, ὁ ἀνταγωνισμός, καὶ δὴ αὐτὸ τοῦτο τὸ νεῖκος. ἤτοι ἡ (διὰ τοῦ ΕΙ) φιλονεικία (φιλόνεικος, φιλονεικῶ). Ἤρχισαν πλέον νὰ μὴ αἰσθάνωνται τὴν σύνθεσιν τῆς λέξεως, καὶ δὴ νὰ βλέπωσιν ἐν αὐτῇ μᾶλλον τὴν ἔννοιαν τοῦ νείκους ἢ τὴν τῆς νίκης. Ὅθεν ὑπεισῆλθεν ἡ διὰ τοῦ ΕΙ γραφή. Μᾶλλον δ' ἐπὶ κακοῦ, ἢ ἐπὶ καλοῦ (ὡς Πλ.Πολ.551 Α.545 Α.581Β.C.Ξεν.'Απ.2,6,5. Κ. Π. 7, 5, 64 κἀλλ. ἴδε κατωτ. ἰδίας δὲ μνείας ἄξιον εἶνε τὸ Πλουτ. 724 Β φίλαθλος καὶ φιλόνικος ἡμῖν ὁ θεός (Ἀπόλλων) προερχόμενον πιθανῶς ἐκ παλαιοτέρου συγγραφέως. Διὰ τοῦτο ἐπὶ καλοῦ εἶνε ἐν συχνοτέρᾳ χρήσει ἡ λέξις ἅμιλλα καὶ ἁμιλλῶμαι. Διεξοδικώτερον καὶ πληρέστερον περὶ τῆς λέξεως ἔγραψεν ὁ Leopold Schmidt ἐν τῇ Ἠθικῇ αὐτοῦ (ἴδ. Μτφρ. Ὀλυμπίου Ι σελ. 241 κέ. ΙΙ σελ. 472-477). Οἱ λόγοι οἱ ὑποστηρίζοντες τὴν διὰ τοῦ Ι γραφὴν τῶν συνθέτων τούτων εἶνε 1) ὅτι κατὰ τὴν ἐπικρατοῦσαν ἀναλογίαν, ἂν τὸ β΄ συνθετικὸν ἦτο τὸ νεῖκος καὶ ὄχι τὸ νίκη, τότε τὸ ὅλον σύνθετον ὤφειλε νὰ εἶνε φιλονεικής, πρβ. πολυνεικής, ἀμφινεικής. Ὑπάρχουσι δὲ καὶ χωρία ὑποστηρίζοντα προφανῶς τὴν διὰ τοῦ Ι γραφὴν Πλ.Πολ.581C. 582E. 586C. Ἀριστοτ. 1363b1. 1368b 21. 1370b 33. 1389a 12, ἐν οἷς ῥητῶς δηλοῦται ὅτι ὑπόκειται τὸ νικᾶν ἢ ἡ νίκη. Ἐναντίον τοῦ α΄ τούτου λόγου ἀντιπροτείνονται δύο τινά, πρῶτον τὸ παρ' Αἰσχύλ. Ἀγ. 1376 ἐμοὶ δ' ἀγὼν ὅδ' οὐκ ἀφρόντιστος πάλαι νείκης παλαιᾶς ἦλθε ὧν τὴν ἑρμηνείαν ἴδε ἐν τῷ νείκη· τὸ δὲ νείκης (= νείκους) ἐκ διορθ. τοῦ Heath ἀντὶ τοῦ νίκης εἰσήχθη εἰς πάσας τὰς νεωτέρας ἐκδόσεις. Τὴν αὐτὴν δὲ γρ. ἀποκατέστησεν ὁ Ἑρμ. ἐν Εὐμ. 904 (ἴδε νείκη) Τὴν αὐτὴν δὲ γρ. παρέχει καὶ ὁ ἄριστος κῶδ. ἐν Εὐρ. Ὀρ. 1679, ἣν ἀποκαθιστῶσι νῦν οἱ νεώτεροι ἐκδόται. Ἴσως δὲ θὰ ὑπῆρχον καὶ ἄλλα πρδγ. ἂν ἐσῴζοντο πάντα τὰ ἀρχαῖα κείμενα. Ὁ ἰσχυρισμὸς λοιπὸν τοῦ Schanz, ὅτι ὁ τύπος οὗτος νείκη ὀφείλεται εἰς τὸν Αἰσχύλον, εἶνε ἀστήρικτος. Δεύτερος λόγος ἀντιπροτεινόμενος εἶνε, ὅτι καὶ παρὰ τοῖς δοκίμοις εὕρηνται σύνθετα, διασαλεύοντα τὴν εἰρημένην ἀναλογίαν, ὡς τὸ ἄκυρος (κῦρος), εὔειρος, δύσριγος, δωδεκάσκυτος, φοξίχειλος, ἀξιόμισος, πλεῖστα δὲ παρὰ μτγν. (ἴδ. Τσερέπη Σύνθετα, σελ. 420 κέ.). Εὕρηνται δὲ καὶ χωρία, ἐν οἷς ἀναντίρρητος εἶνε ἡ διὰ τοῦ ΕΙ γραφή, ὡς Ἰσοκρ. 5, 113 εἰκός σε φιλονεικεῖν, ὅπως τῷ προγόνῳ σαυτὸν ὅμοιον παρασκευάσεις ὅπου, ἂν παραδεχθῶμεν τὴν γραφὴν τοῦ Urbin. φιλονικεῖν, θὰ παρασκευασωμεν ἀντίφασιν αὐτοῦ πρὸς τὸ ὅμοιον παρασκευάσεις. νῦν γὰρ οὐ δήπου πρός γε αὐτὸ τοῦτο φιλον(ε)ικοῦμεν, ὅπως ἃ ἐγὼ τίθεμαι ταῦτ' ἔσται τὰ νικῶντα ἢ ταῦθ' ἃ σύ Πλ. Φίλ. 14Β ὅπου ἂν τὸ φιλονικοῦμεν ἑρμηνεύσωμεν: προσπαθοῦμεν νὰ νικήσῃ ἡ γνώμη ἡμῶν, τότε τὰ ἑφεξῆς ἀποτελοῦσι ταὐτολογίαν· ὅθεν προκριτέα ἡ γρ. φιλονεικοῦμεν ἀγωνιζόμεθα, συζητοῦμεν. Ὁ Schanz ἀντιτάσσων τὸ ἐν Πολ. Βιβλ. 4 ἀρχ. οἰκίας οἰκοδομούμενοι καλὰς καὶ μεγάλας ὡς ὁμοίαν ταὐτολογίαν, λεληθότως ὁμολογεῖ, ὅτι δὲν ᾐσθάνοντο πάντοτε οἱ Ἀθηναῖοι τὴν σύνθεσιν τοῦ ῥήματος φιλονικεῖν. Ἀλλ' ἐκ τούτου ἀκριβῶς προῆλθε καὶ ἡ γρ. φιλονεικ-, διότι ἐν τῇ λέξει ᾐσθάνοντο τὴν ἔννοιαν τοῦ νείκους μᾶλλον ἢ τῆς νίκης. Ἐφεξῆς ἑρμηνεύω διαφέροντά τινα χωρία, ἐξ ὧν φαίνεται ἡ κατὰ μικρὸν παρεκτροπὴ τῆς ἐννοίας τῶν λέξεων τούτων. τὰ οἰκεῖα χεῖρον τίθενται φιλον(ε)ικίας ἕνεκα τῆς αὐτίκα Θουκ. 1, 41 τὰ οἰκεῖα συμφέροντα παραμελοῦσιν ἕνεκα τῆς στιγμιαίας φιλονικίας, δηλ. ἀρκεῖ μόνον νὰ ὑπερισχύσωσι, νὰ μὴ φανῶσι κατώτεροι, ἤτοι: νὰ νικήσωσιν. Ἐπαναλαμβάνεται λοιπὸν ἡ προηγ. ἔννοια τῶν πάντων ἀπερίοπτοί εἰσι παρὰ τὸ νικᾶν, οὗ τὴν ἑρμηνείαν ἴδε ἐν τῷ ἀπερίοπτος. ἡ παρακέλευσις . . κατά τε τὴν τέχνην καὶ πρὸς τὴν αὐτίκα φιλονικίαν ἐγίγνετο 7, 70 ἡ παρακέλευσις ἐγίνετο καὶ ὅπως ἡ τέχνη ἑκατέρων ἀπῄτει καὶ συμφώνως πρὸς τὴν στιγμιαίαν φιλονικίαν, προσπαθούντων δηλ. ἑκατέρων νὰ ὑπερισχύσωσι ἐς φιλονικίαν καθέστασαν τοιαύτην, ἣν πρὶν γενέσθαι ἠπίστησεν ἄν τις ἀκούσας 7, 28 εἰς τοιαύτην φιλονικίαν (ἤτοι: ἐπιθυμίαν νίκης) εἶχον φθάση, ὥστε, ἂν δὲν ἐγίνετο, δὲν θὰ τὴν ἐπίστευέ τις καὶ ἂν τὴν ἤκουε. μηδὲ μωρίᾳ φιλονικῶν ἡγεῖσθαι τῆς τε οἰκείας γνώμης ὁμοίως αὐτοκράτωρ εἶναι καὶ ἧς οὐκ ἄρχω τύχης 4,64 μηδὲ ἐκ μωρᾶς φιλονικίας (μόνον καὶ μόνον διότι μωρῶς σκεπτόμενος θέλω νὰ ὑπερισχύσω) νὰ νομίζω ὅτι, ὡς εἶμαι κύριος τῆς ἰδικῆς μου γνώμης, εἶμαι καὶ κύ-

ριος τῆς τύχης, τὴν ὁποίαν δὲν ἐξουσιάζω. φρονήματι φιλονικῶν ἠναντιοῦτο 5, 43 ὑπὸ (ἕνεκα) τοῦ συναισθήματος τῆς ἰδίας ὑπεροχῆς προσπαθῶν νὰ ὑπερισχύσῃ ἠναντιοῦτο. φιλονικῶν ὁ αὐτόθεν περὶ τοῦ πλείονος ἤδη καλοῦ 7, 71 δηλ. οἱ Συρακούσιοι ἠγωνίζοντο νὰ νικήσωσιν, ἵν' ἀποκτήσωσι μεγαλιτέραν δόξαν. οὐκ ἀπρεπὲς νομιεῖτε . δοθείσης αἱρέσεως πολέμου πέρι καὶ ἀσφαλείας μὴ τὰ χείρω φιλονικῆσαι 5, 111 = μὴ τὰ χείρω ἑλέσθαι ἐκ φιλονικίας, ἤτοι: ἀγωνιζόμενοι νὰ φανῆτε ἀνώτεροι (ὅπερ δηλοῦται ἐν τοῖς ἐφεξῆς). ἐκ δ' αὐτῶν καὶ ἐς τὸ φιλονικεῖν καθισταμένων τὸ πρόθυμον (ἐνν. ἦν) Θουκ. 3, 82 ἐκ δ' αὐτῶν (τῆς πλεονεξίας καὶ φιλοτιμίας) ἦν (προήρχετο ἡ κομματικὴ) προθυμία, ἐν ᾧ οἱ ἄνθρωποι καὶ εἰς τὸ φιλονικεῖν καθίσταντο = παντὶ τρόπῳ ἠγωνίζοντο ἀλλήλων περιγίγνεσθαι (ἴδε κατ.). — καὶ μὴν εἴρηνταί γέ πως σφοδρότερον διὰ φιλονικίαν τῶν κακῶν ἀνθρώπων· τούτου γε μὴν ἕνεκα πεφιλονίκηνται, μή ποτε λόγοις ἡγῶνται κρατοῦντες ἐξουσίαν εἶναι σφίσιν ἃ βούλονται πράττειν οἱ κακοί Πλ. Νόμ. 907 C ὅπου παρατηρητέον ὅτι τὸ πεφιλονίκηνται (οὗ ὑποκείμ. οἱ λόγοι) = (οἱ λόγοι) σφοδρότερον εἴρηνται διὰ φιλονικίαν, ἡ δὲ γεν. τῶν κακῶν ἀνθρώπων φαίνεται ὅτι εἶνε γεν. ἐξ ἀντικειμένου εἰς τὸ φιλονικίαν. Τὸ δὲ νόημα εἶνε ὅτι: προσεπαθήσαμεν νὰ κατανικήσωμεν καὶ ἀποκρούσωμεν τὰ ἐπιχειρήματα (τοὺς λόγους) τῶν κακῶν ἀνθρώπων, ἵνα μήποτε κρατοῦντες λόγοις (ὑπερισχύοντες διὰ τῶν λόγων) νομίζωσιν, ὅτι ὑπάρχει ἐξουσία εἰς αὐτοὺς νὰ πράττωσιν ὅσα ἐπιθυμοῦσι. Παρὰ δὲ τοῖς μτγν. εὕρηται μᾶλλον ἡ διὰ τοῦ ΕΙ γραφὴ (παρὰ τὸ νεῖκος), ἣν ἐπιμαρτυροῦσιν οὐ μόνον ἀρχαῖοι Λεξικογράφοι, ὁ Ἡσύχιος καὶ ὁ Σουΐδας, ἀλλὰ καὶ αὐτὸς ὁ Ἡρωδιανός: «τὸ δὲ φιλόνεικος διὰ τῆς ΕΙ διφθόγγου παρὰ τὸ νεῖκος ἐγένετο». «Φιλόνεικος: μάχιμος, φίλερις» Ἡσύχιος. Οὕτω παρὰ Πλουτ. συνήθως μὲν γρ. διὰ τοῦ ΕΙ, ἀλλ' ἐν 532D. 724B. 988A γραπτέον διὰ τοῦ Ι παρὰ τὸ νίκη. Καὶ ἄλλως δὲ ἦτο φυσικὴ ἡ διὰ τοῦ ΕΙ (παρὰ τὸ νεῖκος) γραφή· διότι πῶς ἤθελεν ἐκφρασθῇ ἄλλως δι' ἐντελοῦς ἀφῃρημένου (καὶ ὄχι διὰ τοῦ οὐδετ. τὸ φίλερι) τὸ ἀφῃρημένον τοῦ φίλερις, τὸ Streitsucht;

φιλόξενος, Ἰων.καὶ ποι. φιλόξεινος 2, καὶ 3: παθόντες πού τι φιλόξενον ἔργον Πίνδ. Ι. 2, 24 ἀφ' οὗ ἔλαβον πραγματικὴν ἀπόδειξιν τῆς φιλοξενίας του: ἀφ' οὗ ἐφιλοξενήθησαν ὑπ' αὐτοῦ.

φιλόπατρις -δος ὁ, ἡ, μεταγενέστερον τοῦ φιλόπολις. Ἐν Σχ. Ἀρφ. Πλ. 901: «τὸ μὲν φιλόπολις κοινόν, Ἀττικὸν δὲ τὸ φιλόπατρις» διωρθώθη ἤδη: «τὸ μὲν φιλόπολις Ἀττικόν, κοινὸν δὲ τὸ φιλόπατρις».

φιλόπολις. Ἐν τῷ πληθ.μὲν Αἰσχ. Ἑπτ.160 λέγει φιλοπόλεις, ὁ δὲ Πλάτ.καὶ οἱ πεζ.συγγρ.φιλοπόλιδες καὶ φιλοπόλιδας, καὶ ἐν γεν. φιλοπόλιδος· τό τε φιλόπολι οὐκ ἐν ᾧ ἀδικοῦμαι ἔχω,ἀλλ'ἐν ᾧ ἀσφαλῶς ἐπολιτεύθην Θουκ. 6,92 καὶ τὴν φιλοπατρίαν αἰσθάνομαι ὄχι νῦν, ὅτε ἀδικοῦμαι, ἀλλ' (ἠσθανόμην αὐτήν) ὅτε ἐν ἀσφαλείᾳ ὢν ὑπηρέτησα ὡς πολιτευόμενος τὴν πατρίδα μου.

φίλορνις - ιθος ὁ ἡ: πέτρα φίλορνις Αἰσχ. Εὐμ. 23 φίλη τοῖς ὄρνισι, συχναζομένη ὑπὸ τῶν πτηνῶν (ἀγρίων περιστερῶν κττ.), ὄχι διὰ τὸ περιβάλλον δάσος.

φίλος 3: ἔνθα φίλ' ὀπταλέα κρέα ἔδμεναι Δ 345 κυρ. ὀπταλέα κρέα ἐστὶ φίλα ἔδμεναι (ἐσθίειν). Τὸ ἔδμεναι προστίθεται εἰς συμπληρωματικὴν ἐπεξήγησιν. Παρομοία σύνταξις καὶ ἐν τῷ ἦ γὰρ ἐμοὶ φίλ' ἀληθέα μυθήσασθαι ρ 15 ἀληθέα (ὑποκείμ., ἐνν. ἐστὶ) ἐμοὶ φίλα (κατὰ τὸ) μυθήσασθαι. Ὁμοίως ο 362. τίη μοι ταῦτα φίλος διελέξατο θυμός; Λ 407 = «ἡ καρδοῦλά μου». τοῦθ' ὅρα εἰ σοὶ λυσιτελεῖ καὶ ἐμοί, ὅπως μὴ πεισόμεθα, ὅπερ φασὶ (ἐνν. πάσχειν) τὰς τὴν σελήνην καθαιρούσας, τὰς Θετταλίδας· σὺν τοῖς φιλτάτοις ἡ αἵρεσις ἡμῖν ἔσται ταύτης τῆς δυνάμεως τῆς ἐν τῇ πόλει Πλ. Γοργ.513 Α βλέπε, ἂν τοῦτο ὠφελεῖ σε καὶ ἐμέ, (προσέχων) πῶς νὰ μὴ πάθωμεν ἐκεῖνο ἀκριβῶς, τὸ ὁποῖον λέγουν ὅτι πάσχουν αἱ τὴν σελήνην καταβιβάζουσαι, αἱ Θετταλίδες (διαβόητοι μάγισσαι· ἀλλὰ «αἱ τὴν σελήνην καθέλκουσαι Θετταλίδες λέγονται τῶν ὀφθαλμῶν καὶ τῶν παίδων στερίσκεσθαι» Σουΐδας, ὅθεν καὶ ἡ παροιμία: «ἐπὶ σαυτῷ (=«γιὰ κακό σου») τὴν σελήνην καθέλκεις»· ὅθεν ἕπεται ἡ ἐπεξήγησις), δηλ. (πρόσεχε) πῶς νὰ μὴ ἐκλέξωμεν (προτιμήσωμεν) τὴν δύναμιν ταύτην τὴν ἐν τῇ πόλει μὲ θυσίαν τῶν φιλτάτων μας (καὶ μάλιστα τῶν παίδων). οὐ μὴν φίλους γε, κἄτι μᾶλλον ἢ φίλους, κρύπτειν δίκαιον σὰς δυσπραξίας Εὐρ. Ἱππ. 914 οὐ μὴν δίκαιος εἶ (ἤ: οὐ μὴν δικαίως) κρύπτεις σὰς δυσπραξίας τούς γε φίλους, καὶ ἔτι μᾶλλον (φίλους) ἢ τοὺς (συνήθεις) φίλους. καὶ γὰρ ὃ μηδαμὰ δὴ τὸ φίλον φίλον, ὁπότε γε καὶ τὸν ἐν χεροῖν κατεῖχον Σοφ.Ο.Κ. 1698 διότι ἐκεῖνο, τὸ ὁποῖον οὐδαμῶς βεβαίως ἦτο εὐχάριστον (κυρ. τὸ καθ' ἑαυτό, τὸ ἀπολύτως εὐχάριστον=τὸ φίλον), ἦτο ὅμως ἐπιθυμητόν, ἐφ' ὅσον τοὐλάχιστον κατεῖχον καὶ αὐτὸν (ὅπως καὶ τὰ προμνημονευθέντα κακά) μεταξὺ τῶν χειρῶν μου. Ὁ Σοφοκλῆς εἶχε πρὸ ὀφθαλμῶν τὴν ἀρχαίαν (παρὰ Θεόγνιδ. 17) γνώμην: ὅττι καλὸν φίλον ἐστί, τὸ δ' οὐ καλὸν οὐ φίλον ἐστί. ἀλλ' εἰ οὕτως, ὦ Θεόδωρε, σοὶ φίλον, οὐδ' ἐμοὶ ἐχθρόν, φασὶν οἱ παροιμιαζόμενοι Πλ. Θεαίτ. 162 Β εἰ οὕτως σοι ἀρέσκει, οὐδ' ἐμοὶ ἀπαρέσκει. φίλα γὰρ ἔσται πάντ' ἐμοί Εὐρ. Ἰ. Τ. 914 «ἐμοὶ γὰρ πάντα (τὰ κατ' αὐτήν, ἤ: τὰ κατὰ τοὺς ἐμοὺς) ἔσται φίλα (πυθέσθαι)» Δ.Βερν. ταμὰ σπεύδεις φίλα Ἡρ. Μ. 1409, ἴδε σπεύδω. ἕνεκ' ἄρα τοῦ φίλου τὸ φίλον φίλον (=τὸ φίλον ἐστὶ φίλον) διὰ τὸ ἐχθρόν Πλ.Λυσ.

219B. Τινὲς προσθέτουσι τὸ τοῦ φίλου εἰς τὸ τὸ φίλον. ὡς φίλ' ἂν λέγοις Εὐρ. Ἑκ. 506 κατὰ Weil: μὴ φοβοῦ λέγειν, ὡς φίλα ἂν λέγοις. Κατὰ δὲ Δ. Βερν. λέγοις ἂν (=λέγε, ἐνν. ταῦτα), ὡς φίλα μοι ὄντα. ἐᾶτέ μ', οὔτοι φίλα τὰ μὴ φίλ', ὦ κόραι, κεῖσθαι πεσοῦσαν Εὐρ. Τρ. 466. Τὸ οὔτοι —κόραι εἶνε παρενθετικόν· κυρ. δὲν εἶνε βεβαίως εὐχάριστα ἐκεῖνα, τὰ ὁποῖα εἶνε τοιαῦτα, ὥστε νὰ μὴ εἶνε εὐχάριστα. Τισσαφέρνει φίλη (Μίλητος) ἦν καὶ συνεπολέμει Κύρῳ πρὸς αὐτόν Ξεν. Ἀν. 1, 4, 2 «πρῶτος ἠθέτησε ταῦτα ὁ Κόβετ, τὸν ἠκολούθησαν καὶ ἄλλοι ἄνευ ἀποχρῶντος λόγου. Ἡ Μίλητος δύναται νὰ λέγηται καὶ φίλη Τισσαφέρνει, καὶ ὄχι μόνον φιλία, ὅπως νομίζει ὁ Κόβετ· διότι καὶ ἐπὶ πόλεων καὶ χωρῶν εὑρίσκεται παρὰ Ξενοφ., εἰ καὶ σπανιώτερον, φίλη (ἔστω καὶ μὲ τὴν διαφορὰν τὴν ὑπὸ τοῦ Ἔρτλεϊν ὁριζομένην, ὅτι φίλη μὲν εἶνε ἡ φιλικῶς διακειμένη, φιλία δὲ ἡ καὶ σύμμαχος, ὅπερ δὲν εἶνε βέβαιον), οἷον Ἑλλ. 3, 5, 4 4, 6, 3 καὶ § 28. Τὸ δὲ συνεπολέμει Κύρῳ πρὸς αὐτόν, ὅπερ ὑπολαμβάνει ἄτοπον ὁ Κόβετ, δύναται κάλλιστα νὰ λέγηται περὶ πολέμου, ὃν ἀμφότεροι διεξῆγον πρὸς τὸν Τισσαφέρνην κτλ».Πανταζίδης. Κλητ. ὦ φίλε καὶ ὦ φίλος (χάριν τοῦ μέτρου συνήθως). ἆρ' ὀρθὸν αἱρεῖς φίλτατον τὸ σὸν κάρα; Αἰσχ. Χο. 494 ὥστε εἶναι φίλτατον ἡμῖν;— τὰ φίλταθ' Ἁρμοδίου Ἀρφ. Ἀχ. 1093, ἴδ. ὀρχηστρίς. Συχνὴ δὲ ἡ φράσις τὰ φίλτατα, ἣ πολλαχοῦ εὕρηται ἀντὶ τοῦ ὁ φίλτατος (Αἰσχ. Πέρσ. 853. Σοφ. Φιλ. 434. Ἠλ. 1208 κἀλλ.) ἢ οἱ φίλτατοι· πρβ. τὰ πρῶτα. ἴδ. ἀνωτ. τὸ Πλάτ. Γοργ. 513 A. ὃς σοῦ πατρὸς ἦν τὰ φίλτατα Σοφ. Φιλ. 434 = ὁ φίλτατος, πρβ. Ἀπ. Αἰσχ. 135.

φιλοσοφέω: φιλοκαλοῦμεν μετ' εὐτελείας καὶ φιλοσοφοῦμεν ἄνευ μαλακίας Θουκ. 2, 40 ἀγαπῶμεν τὰς ὡραίας τέχνας μετὰ μικρᾶς δαπάνης καὶ καταγινόμεθα εἰς τὰ γράμματα (εἰς τὰς ἐπιστήμας) χωρὶς νὰ ἐκθηλυνώμεθα. μελετῶ, σπουδάζω. καὶ ἰδ.μεθοδικῶς σπουδάζω τι. Ἰσοκ. 4, 6. 15, 121. 8, 116 καὶ ἀλλ. (βίος) περιαθρῶν τὴν φύσιν φιλοσοφῶν οὐ πρὸς ὄχλον καὶ θέατρον, ἀλλὰ πρὸς ἀμφιθαλῆ τὴν ἀλήθειαν Πλ. Ἀξι. 370D βίος, ὃς περιαθρῶν (περισκοπῶν) τὴν φύσιν φιλοσοφεῖ, ἔχων ἀπέναντί του ὄχι ὄχλον καὶ θέατρον, ἀλλὰ τὴν ἀλήθειαν ἀμφιθαλῆ.

φιλόσπονδος 2 ὁ φιλῶν τὰς σπονδάς Αἰσχ. Χο. 291. Τὸ χωρίον: φιλοσπόνδου λιβὸς τῆς σπονδῆς (=λιβὸς) τῆς φιλούσης σπένδεσθαι, κατὰ δὲ τὸν Weckl. τῆς προσφερομένης ὑπὸ ὁμίλου φίλων, τ.ἔ. τῆς σπενδομένης ὑπὸ φίλων· ὁ δύσκολον· πρβ. φιλόθυτος.

φιλότης ἡ: διὰ τὴν λίαν φιλότητα βροτῶν Αἰσχ.Πρ. 124 διὰ τὴν λίαν (μεγάλην) φιλανθρωπίαν. καί σ'ἀμείψασθαι θέλω φιλότητι χειρῶν («ἁφῇ φιλικῇ χειρῶν» Σχ.) Εὐρ.Ὀρ.1048 «καὶ αὐτὸς περιβαλεῖν σε βούλομαι» Σχ.

φιλοτιμέομαι καὶ ἀπολ. ἔρημον ποιεῖς τὸν δῆμον τῶν φιλοτιμησομένων Δημ. 20, 103 ἐκείνων, οἵτινες θὰ ἔχωσι τὴν φιλοτιμίαν (φιλοδοξίαν) νὰ προσφέρωσιν ὑπηρεσίας εἰς αὐτόν.

φιλότιμος 2 ὁ φιλῶν τὴν τιμήν, φιλόδοξος· βᾶτε δόμῳ, μεγάλαι φιλότιμοι Νυκτὸς παῖδες ἄπαιδες, ὑπ' εὔφρονι πομπᾷ Αἰσχ.Εὐμ. 1034 χωρήσατε εἰς τὸν οἶκον ὑμῶν, μεγάλαι φιλότιμοι τῆς Νυκτὸς παῖδες, ὄχι πλέον παῖδες (ἀλλὰ γεραιαί), τῇ συνοδείᾳ τῆς εὐμενοῦς πομπῆς. ὑποσκίων ἐκ στομάτων ποτάσθω φιλότιμος εὐχά Ἱκ. 664 ἐκ τῶν (τοῖς ἱκετηρίοις κλάδοις) σκιαζομένων στομάτων ἐξίτω (ἐξερχέσθω, πρβ. Ἑπτ. 84) φιλότιμος εὐχή· πρβ. ἄφυλλος ἐν Εὐρ. Ὀρ. 383. καὶ φιλότιμον γλυκὺ μέν, λυπεῖ δὲ προσιστάμενον Εὐρ. Ἰ. Α.22, ἴδ. προσίστημι. τὸ μαντικὸν πᾶν σπέρμα φιλότιμον κακόν 520 «πᾶν τὸ μαντικὸν σπέρμα (τὸ μάντεων γένος) φίλαρχον κακόν ἐστι» Δ. Βερν. τὸ γὰρ φιλότιμον ἀγήρων μόνον, καὶ οὐκ ἐν τῷ ἀχρείῳ (ἀχρήστῳ διὰ τὸ γῆρας) τῆς ἡλικίας τὸ κερδαίνειν, ὥσπερ τινές φασι (ἴσως ὁ Σιμωνίδης, πρβ. Πλουτ. 785B, καὶ Σχ. «φιλάργυροι γὰρ οἱ γέροντες»), μᾶλλον τέρπει, ἀλλὰ τὸ τιμᾶσθαι Θουκ. 2, 44 μόνη γὰρ ἡ φιλοτιμία (τὸ φιλεῖν τὰς τιμὰς) οὐ γηράσκει κτλ. ζητῶν πρίασθαι τὸ φιλότιμον ἐκ μέσου Εὐρ. Ἰ. Α. 342, ἴδ. πρίασθαι. οὗ σοφίαι μυρίαι κάθηνται, φιλοτιμότεραι Κλεοφῶντος Ἀρφ Βατρ. 679 ὅπου (τ. ἔ. ἐν τῷ ὄχλῳ τῶν λαῶν) μυρίοι σοφοὶ κάθηνται, φιλοτιμότεροι τοῦ Κλεοφῶντος (στρατηγοῦ Ἀθηναίων, σφόδρα φιλοτίμου ὄντος).

φιλοχωρία ἡ, ἀγάπη πρὸς τὸν χῶρον, συμπάθεια πρὸς τὸν τόπον, ποῦ ἔχει συνήθισῃ κανεὶς διὰ κάθε πρᾶγμα· πρβ. φιλοπατρία καὶ τὴν παροιμ. «ποῦ γεννηθῇ 'ς τὴ φυλακή, τὴ φυλακὴ θυμᾶται». ὡς δεινὸν ἡ φιλοχωρία Ἀρφ. Σφ. 834 πόσην δύναμιν ἔχει τὸ αἴσθημα τοῦ χώρου.

φίλτρον τό: καὶ τί οἱ φίλτρον ἐν θυμῷ μελιγάρυες ὕμνοι τίθεν Πινδ.Π.3,64 καὶ τινα αὐτῷ ἡδονὴν ἐν τῇ ψυχῇ οἱ ἡδύφωνοι ὕμνοι ἐποίουν. φίλτρα τόλμης Αἰσχ.Χο.1027 ἴδε πλειστηρίζομαι. τί ποτ' ἄπληστος εἶ κακῶν, ἔρωτας, ἀπάτας δόλιά τ' ἐξευρήματα ἀσκοῦσα φίλτρα θ' αἱματηρὰ δωμάτων; Εὐρ. Ἑλ. 1104 τί ποτ' ἄπληστος εἶ κακῶν σύ, ἣ ἀσκεῖς καὶ ἐπιτηδεύεις ἔρωτας, ἀπάτας, δόλιά τ' ἐξευρήματα, φίλτρα (θέλγητρά) τε αἱμάτων πολλῶν αἴτια τοῖς οἴκοις; Οἱ μὲν ἐξαρτῶσι τὸ δωμάτων ἐκ τοῦ φίλτρα, οἱ δὲ ἐκ τοῦ αἱματηρά. Ἄλλοι διορθ. σωμάτων. φίλτρον τοῦτ' ἔχων ῥάων ἔσῃ; Ἡρ Μ. 1407 ὅταν ἐκπληρώσῃς τὸν πόθον σου τοῦτον, θὰ εἶσαι ἐλαφρότερος; (ἐκ τῶν) νυκτέρων φίλτρων μεγίστη γίγνεται βροτοῖς χάρις Ἑκ. 832, ἴδ. χάρις. φίλτροις ἐάν πως τήνδ' ὑπερβαλώμεθα Σοφ. Τρ. 584, ἴδε ἐάν. πρὸς παίδων γουνάζομαι, ἦν με θανοῦσαν στείλῃς, μὴ σπεῖσαι (σπεῦσαι Df) δεύτερα φίλτρα γά-

μου 'Ανθ. 9, 422 ἱκετεύω σε πρὸς παίδων, ἥν με ἀποθανοῦσαν περιστείλῃς, μὴ συνάψαι δεύτερον γάμον, κυρ. μὴ σπονδαῖς ἔρωτα γαμήλιον πιστωσάμενον δεύτερον γάμον ποιήσασθαι.

φιμός ὁ, μέρος τοῦ χαλινοῦ τὸ περὶ τοὺς μυκτῆρας (πνιγεύς), κρίκοι καὶ δακτύλιοί τινες (περὶ ὧν κατωτ.) Αἰσχ. 'Επτ. 450 πώλους φιμοῖσιν αὐλωτοῖσιν ἐστομωμένας Αἰσχ.'Απ.326 «αὐλωτοὶ φιμοί· οἱ κημοί, διὰ τὸ τοῖς κημοῖς κώδωνας προσῆφθαι, εἰς οὓς ἐμφυσῶντες οἱ ἵπποι φωνὴν σάλπιγγος προΐεντο» 'Ησύχιος.

φιτυποίμην Αἰσχ. Εὐμ. 912, ἴδε στέργω.

ΦΛΑΔΩ: λακίδες ἔφλαδον Αἰσχ. Χο. 28=ράκη ἐξεσχίζοντο· ἴδ. λινοφθόρος.

φλαῦρος 3: φλαύρως ἀκούειν 'Ηρ.7,10=κακῶς ἀκούειν.

φλεγέθω, ἴδ. φλέγω.

φλέγω (fulgeo) ὁμαλόν, σπαν. πεζ., καὶ δὴ τὸ ἐνεργ. ἁπλοῦν τὸ πρῶτον ἀπὸ τοῦ Πλουτ., ἀλλ' ὁ παθ. ἐνεστ. καὶ πρτ. Πλ. Νόμ. 716 Α. Τίμ. 85 Β. Χαρμίδ. 155D, καὶ τὰ σύνθ. σπαν. πεζ. — φλέξω 'Ανθ. 5, 179. 'Απολλ. 'Ρ. 3, 582. ἔφλεξα Αἰσχ. Πρ. 605, ἀντ- Πινδ. 'Ο. 3, 20, ἐξ- 'Αρφ. Εἰρ. 608, κατ- 'Απολλ. 'Ρ. 4, 392, ἐπ- Θουκ. 2, 77. Πρκ. ἐνεργ. δὲν εὑρίσκεται. Παθ. ἐφλέχθην 'Ομ. 'Επιγρ. 14, 23. 'Ηρακλ. π. 'Απίστ. 26, κατ- Θουκ. 4,133, ἀν- Πλ. 'Επιστ. 349 Α. (ἐφλέγην ἐν συνθ. ἀν-, ἐξ-, κατ- μτγν.). συμφλεγησόμενος 'Ιωσ. 'Ιουδ. πολ. 7, 8, 5 καὶ καταφλέξεσθαι παθ. 4,6,3. πέφλεγμαι Λυκόφρ. 806, συμ- Πλουτ. 770 Ε. ἄφλεκτος Εὐρ. 'Ελ. 1334. 'Επ. ποιητ. παρασχηματ. φλεγέθω, μτβ. καὶ ἀμτβ., μόνον ἐνεστ. ἐνεργ. καὶ ἐκ τοῦ παθητ. μόνον τὸ φλεγεθοίατο Ψ 197= -θοιντο. τὸ δὲ φλέγει ἀκάματον πῦρ, ὄρμενον ἐξαίφνης Φ 13 τοῦτο δὲ τὸ ἀκάματον πῦρ, καταφλέγει (τὰς ἀκρίδας), ἐγερθὲν αἰφνιδίως. Ἄρης αἷμα δάϊον φλέγει πόλει Εὐρ.Φοίν.241 τοὺς πολεμίους διεγείρει (παρορμᾷ) ἐναντίον τῆς πόλεως. διὰ χειρὸς βέλος φλέγων (Ζεὺς) Αἰσχ. 'Επτ. 500 κραδαίνων εἰς τὴν χεῖρά του τὸ φλογερὸν βέλος (τοῦ κεραυνοῦ). ἄταν οὐρανίαν φλέγων Σοφ. Αἴ. 196 ἀναφλέγων τὴν συμφορὰν (ὑψῶν τὴν φλόγα τῆς συμφορᾶς) μέχρις οὐρανοῦ. ὃς νῦν ἄχαλκος ἀσπίδων φλέγει με περιβόατος ἀντιάζων Ο. Τ. 191 ὅστις (Ἄρης) νῦν ἄνευ χαλκῶν ἀσπίδων μὲ κατακαίει (κατατρύχει) ἐν μέσῳ βοῶν καὶ θρήνων ἐπερχόμενος ἐναντίον μου. ἄθ' ὑπὸ στεροπᾶς φλέγων Θρηΐκιος βορέας 'Απ.'Ιβύκ. 1 ὡς Θρακικὸς βορρᾶς (θύελλα) καίων (ἐκπέμπων φλόγας) ἀπὸ τὰς ἀστραπάς· ἴδ. ἀζαλέος. σιδηρόφρων γὰρ θυμὸς ἀνδρείᾳ φλέγων ἔπνει, λεόντων ὡς Ἄρη δεδορκότων Αἰσχ. 'Επτ. 52 διότι ἡ σιδηρόκαρδος ψυχή των ἀνάπτουσα (καιομένη) ἐκ τῆς ἀνδρείας ἔβραζεν, ὡς λεόντων ἐχόντων βλέμμα πλῆρες πολεμικῆς μανίας. παιδικοὶ ὕμνοι φλέγονται Βακχυλ. 'Απ. 4, 17 παιδικοὶ ὕμνοι (ἐρωτικοί) ἀναπέμπονται φλογεροί· πρβ. Πινδ. 'Ο. 9, 21. || κάμνω ὀνομαστόν, λαμπρύνω, καὶ παθ. γίνομαι ὀνομαστός, λάμπω· φλέγεται ἀρεταῖς μυρίαις Πινδ. Ν. 10, 2 δοξάζεται (τὸ Ἄργος) διὰ μυρίων νικῶν (κυρ. ἐπαίνων ἀρετῶν). φλέγει δὲ λαμπὰς διὰ χερῶν ὡπλισμένη Αἰσχ. 'Επτ. 420, ἴδ. ὁπλίζω. πρὶν ταχυρρόθους λόγους ἱκέσθαι καὶ φλέγειν χρείας ὕπο Αὐτ. 272 πρὶν νὰ ἔλθωσιν ταχύρροθοι λόγοι καὶ νὰ φλέγωσι (δηλ. τοὺς πολίτας : νὰ εἶνε φλέγοντες) ἕνεκα τῆς (κατεπειγούσης) ἀνάγκης. φλέγονθ' ὑπ' ἄστροις οὐρανὸν τετυγμένον Αὐτ. 375 οὐρανὸν κατεσκευασμένον οὕτως, ὥστε ν' ἀκτινοβολῶσι τὰ ἄστρα. ἐξίσταται δὲ νυκτὸς αἰανῆς κύκλος τῇ λευκοπώλῳ φέγγος ἡμέρᾳ φλέγειν Σοφ. Αἴ. 673, ἴδ. ἐξίσταμαι. τὸ φέρον ἐκ θεοῦ καλῶς φέρειν χρή, μηδ' ἄγαν οὕτω φλέγεσθον Ο. Κ. 1695 τὴν ἐκ θεοῦ ἄγουσαν καὶ φερουσαν ὑμᾶς τύχην πρέπει καλῶς νὰ ὑποφέρετε, καὶ μὴ ἐξάπτεσθε τόσον πολύ· ἴδε φέρω. οὐρανία γὰρ ἀστραπὴ φλέγει πάλιν Αὐτ.1466 εἰς τὸν οὐρανὸν ἡ ἀστραπὴ φεγγοβολεῖ πάλιν. 'Αλλὰ τὸ οὐρανία δὲν ἁρμόζει εἰς τὸ μέτρον. Ἡ ἐγγυτέρα διόρθωσις εἶνε τὸ οὐρία τοῦ Elmsley, ἀλλ' εἰς τὸ νόημα δὲν ἁρμόζει· ἴσως γρ. φοινία τ. ἔ. κόκκινη σὰν αἷμα, ὅθεν καὶ οἱ φόβοι τοῦ χοροῦ περὶ ἀπαισίου προμηνύματος. Τὸ οὐρανία ἐν τοῖς χ/φοις γράφεφεται οῦνία. Χαρίτων ἑσπέριος ὁμάδῳ φλέγεν Πινδ. Ν. 6, 43 διὰ τοῦ ἐπινικίου ᾄσματος (τοῦ ἤχου τῶν Χαρίτων) ἀνέλαμπεν («ἐλαμπρύνετο κωμάζων» Σχ.) ἑσπερινός (ἐνν. τὴν ἑσπερινὴν πομπὴν τῶν ἑταίρων παραπεμπόντων τὸν νικητὴν πρὸς τὸν βωμὸν τοῦ θεοῦ). φλέγει δ' ᾧ μαινομένᾳ κραδίᾳ πανὸς ἐφορμούσῃ χρυσοφαὴς Εὐρ. 'Ιππ. 1274, ἴδ. ἐφαρμόζω. ἑῴοις ὅμοια φλεγέθων βολαῖς ἁλίου Εὐρ. Φοίν. 172 λάμπων ὁμοίως ταῖς ἑωθιναῖς ἀκτῖσι τοῦ ἡλίου» Σχ. παντᾷ τοι φλεγέθει κἂν σκότῳ μελαίνᾳ ξὺν τύχᾳ μερόπεσσι λαοῖς Αἰσχ. 'Ικ. 91 καὶ πανταχοῦ βεβαίως λάμπει (παρέχει λάμψιν) ὁ Ζεὺς τοῖς θνητοῖς ἀνθρώποις, καὶ ὅταν ἀκόμη εὑρίσκωνται μέσα εἰς σκότος μὲ μαύρην δυστυχίαν.

φλέω: φλεόντων δωμάτων ὑπέρφευ Αἰσχ. 'Αγ. 388, ἴδ. φαίνω. πρεσβυτοδόκοι θυμέλαι φλεόντων 'Ικ. 675, ἴδ. πρεσβυτοδόκος.

φλογιστός 3: τοὐμὸν ὡς ἔρρει δέμας φλογιστὸν ἤδη καὶ κατηνθρακωμένον Σοφ. 'Ηλ. 58 ὅτι τάχα τὸ σῶμά μου κατεκαύθη πλέον ὑπὸ τῶν φλογῶν καὶ ἀπηνθρακώθη.

φλογωπός 2: φλογωπὰ σήματα Αἰσχ. Πρ. 514 «τὰ διὰ τῆς φλογὸς γινόμενα σημεῖα πρὸς τὸ μαντεύεσθαι» Σχ. ἔμπυρα σημεῖα· ἴδ. ἐξομματόω.

φλόξ ἡ: πέμπουσι δ' ἀνδαίοντες ἀφθόνῳ μένει φλογὸς μέγαν πώγωνα Αἰσχύλ. 'Αγ. 317, ἴδε πώγων· διά μου κεφαλᾶς φλὸξ οὐρανία βαίη Εὐρ. Μήδ.

144 «οἷον κεραυνωθείην, κεραυνοβοληθείην· φλόγα γὰρ οὐρανίαν τὸν κεραυνὸν λέγει» Σχ.

φλύω: μὴ μάτην φλῦσαι θέλων Αἰσχ. Πρ. 520 ἐκτὸς ἂν θέλῃ νὰ φλυαρήσῃ ματαίως. γράμματα ἐπ' ἀσπίδος φλύοντα σὺν φοίτῳ φρενῶν Ἑπτ. 648 φλυάρως μεγαλαυχοῦντα (οἷον παφλάζοντα) ἐξ ἐπιφοιτήσεως μανίας· σχεδὸν = ἀνόητα, «σαλιαρίσματα.» φήμην στυγερὴν ἔφλυσεν Ἀρχίλοχος Ἀνθ 7, 351 κατὰ τῆς ἡμετέρας γενεᾶς ἐξέχεεν (ἐξήμεσεν) κρυερὸν ὄνειδος καὶ στυγερὰν φήμην ὁ Ἀρχίλοχος. Διορθοῦσιν ἔβλυσεν, ὡς καὶ ἐν Ἐπιγρ. 7, 352 ἐπὶ τῆς αὐτῆς ἐννοίας, διότι τοῦ ἔφλυσεν ἡ παραλήγουσα εἶνε μακρά.

φοβερός 3 ποιῶν φόβον· φοβερὸν γὰρ ἀπαράμυθον ὄμμα πωλικὸν Εὐρ. Ἰ. Α. 620 «τὸ τῶν πώλων ὄμμα ἔμφοβον ὄν, ἀκαταπραΰντον ἐκ τῶν λόγων ἐστὶν (= ἀπαραμύθητον, ἤτοι: ὅταν αἱ πῶλοι εἶνε ἔμφοβοι ἐκ τῆς θέας ξένων, δὲν παίρνουν ἀπὸ λόγια: ἀπὸ τὰς τῶν ἡνιόχων παρακελεύσεις)» Δ. Βερν. φοβερὸν πὺξ ἐρεθίζειν Θεόκρ. 22, 2, ἴδ. ἐπιζεύγνυμι. φοβεροὶ δὲ βροτοῖσι μῦθοι κέρδος πρὸς θεῶν θεραπείας Εὐρ. Ἠλ. 743 «οἱ δὲ φοβεροὶ μῦθοι κέρδος εἰσὶ τοῖς βροτοῖς πρὸς τὰς τῶν θεῶν θεραπείας» Δ. Βερν. ἐν γὰρ φρονίμοις τε καὶ φίλοις περὶ τῶν μεγίστων τε καὶ φίλων τἀληθῆ εἰδότα λέγειν ἀσφαλὲς καὶ θαρραλέον· ἀπιστοῦντα δὲ καὶ ζητοῦντα ἅμα τοὺς λόγους ποιεῖσθαι, ὃ δὴ ἐγὼ δρῶ, φοβερόν τε καὶ σφαλερόν, οὔ τι γέλωτα ὀφλεῖν· παιδικὸν γὰρ τοῦτό γε· ἀλλὰ μὴ σφαλεὶς τῆς ἀληθείας οὐ μόνον αὐτὸς ἀλλὰ καὶ τοὺς φίλους ξυνεπισπασάμενος κείσομαι περὶ ἃ ἥκιστα δεῖ σφάλλεσθαι Πλ. Πολ. 450Ε μεταξὺ εἰδημόνων καὶ φίλων νὰ λέγῃ τις, ὅταν γνωρίζῃ, τὴν ἀλήθειαν περὶ τῶν σπουδαιοτάτων καὶ φίλων (ὃ ἐξελέχθη διὰ τὸ προηγ. φίλοις) πραγμάτων εἶνε ἀσφαλὲς καὶ ἀκίνδυνον (κυρ. ἐμπνέον θάρρος)· ἀλλ' ἐν ᾧ τις ἀκόμη ἀπιστεῖ (ἀμφιβάλλει) καὶ ζητεῖ (νὰ εὕρῃ τὴν ἀλήθειαν), συγχρόνως νὰ ὁμιλῇ (περὶ αὐτῆς), ὅπερ ἐγὼ ἀκριβῶς πράττω, τοῦτο εἶνε φοβερὸν (ἐμπνέον φόβους) καὶ ἐπισφαλές, ὄχι διότι ἤθελέ τις κριθῇ γελοῖος, διότι τοῦτο τοὐλάχ. εἶνε παιδικόν, ἀλλὰ (φοβοῦμαι) μήπως ἀποπλανηθεὶς ἀπὸ τῆς ἀληθείας ὄχι μόνον ἐγὼ ὁ ἴδιος ἀλλὰ καὶ τοὺς φίλους συμπαρασύρας θὰ πέσω (κείσομαι κυρίως = ἔσομαι πεπτωκώς) εἰς ζητήματα, εἰς τὰ ὁποῖα διόλου δὲν πρέπει τις νὰ ἀποπλανᾶται. ἀποπέμπομαι ἔννυχον ὄψιν, ἣν περὶ παιδὸς ἐμοῦ . . ἀμφὶ Πολυξείνης τε. . δι' ὀνείρων φοβερὰν ἐδάην Εὐρ. Ἑκ. 72 «ἀποπέμπομαι (ἀποδιοπομποῦμαι) τὴν ἔννυχον ὄψιν, ἣν φοβερὰν (οὖσαν) περὶ παιδός. . ἀμφὶ (= περὶ) Πολυξένης τε. . δι' ὀνείρων ἐδάην (= ἔμαθον, ἔγνων), τοῦ περὶ παιδὸς καὶ ἀμφὶ Πολυξ. ἀναφερομένου εἰς τὸ «φοβερὰν» (οὖσαν)» Δ. Βερν. ‖ ὁ φοβούμενος· ἐκτέταμαι φοβερὰν φρένα Σοφ. Ο. Τ. 153, ἴδε ἐκτείνω.

φοβέω ποιῶ φόβον, ἴδ. εἰς φυγὴν τρέπω· ᾧ μή 'στι δρῶντι τάρβος, οὐδ' ἔπος φοβεῖ Σοφ. Ο. Τ. 296, ἴδε τάρβος. Περὶ τῆς συντάξεως ἴδ. μή. οἱ δ' ἔτι κὰμ μέσσον πεδίον φοβέοντο, βόες ὥς, ἅς τε λέων ἐφόβησε Λ 172 οἱ δὲ ἄλλοι κατὰ τὸ μέσον τῆς πεδιάδος ἐφυγαδεύοντο (ἐτρέποντο εἰς φυγὴν) ὡς βόες, τὰς ὁποίας ἔτρεψεν εἰς φυγὴν λέων. φοβεῖται δέ τις τόδ' εὐτυχεῖν Αἰσχ. Χο. 56, ἴδ. εὐτυχῶ. Καὶ μετὰ τοῦ ὡς: φοβοῦμαι νῆες ὡς ὠκύπτεροι ἥκουσι Αἰσχ. Ἰκ. 742 φοβοῦμαι, διότι αἱ ὠκ. νῆες ἔρχονται. Ἀλλὰ τὸ ὡς ἐκφράζει καὶ ἡ συνήθεια διὰ τοῦ πῶς: φοβοῦμαι πῶς ἔρχονται. Ἐνίοτε δὲ καὶ μετὰ τοῦ μὴ ἂν ἴδ. Ξενοφ. περὶ Πόρ. 4, 41 καὶ δείδω. εἰς τὰ μητρὸς μὴ φοβοῦ νυμφεύματα Σοφ. Ο. Τ. 980 μὴ φοβοῦ ὡς πρὸς (κατ' ἀναφορὰν = εἰς) τὸν γάμον τῆς μητρός.

φόβη ἡ, θρίξ, κόμη, καὶ μτφ. ἡ κόμη τῶν δένδρων, τὸ φύλλωμα· αἱ μὲν πρὸς ἐλάτης νῶτ' ἐρείσασαι φόβην Εὐρ. Βάκχ. 684 ἄλλαι μὲν ἦσαν πλαγιασμέναι (κυρ. εἶχαν ἐστηριγμένα τὰ νῶτά των) ἐπὶ φυλλώματος ἐλάτης.

φόβος ὁ (φέβομαι) «προσδοκίαν τινὰ λέγω κακοῦ τοῦτο, εἴτε φόβον εἴτε δέος καλεῖτε» Πλ. Πρωτ. 358 D, ἀσαφῆ. φόβος δ' ἦν ὥστε μὴ τέγξαι πόδα Εὐρ. Ι. Τ. 1380 συνήθως: φόβος ἦν μὴ ἡ Ἰφιγένεια ἀναβαίνουσα τὴν κλίμακα βρέξῃ τοὺς πόδας της. Κατὰ τὸν Δ. Βερν. ἐκλαμβάνοντα τὸ τέγξαι ὡς ἀόρ. τῆς εὐκτ. ἑρμηνευτέον: «φόβος δ' ἦν (αὐτοῖς, τοῖς ναύταις, τοιοῦτος) ὥστε δεδιέναι μὴ ἡ ναῦς τέγξειε πόδα (= ἀνατραπείη)». θεοῦ δ' αἵματι πιτνεῖν φόβος ὑπ' ἀνέρων Μήδ. 1256, ἴδ. πίπτω. φόβος γὰρ ἐς τὸ δεῖμα περιβαλών μ' ἄγει Ἑλ. 312 φόβος γὰρ περιβαλὼν (οἷον πολιορκήσας) με ἄγει εἰς τὸ δεῖμα, ἤτοι εἰς τὴν δειματώδη σκέψιν, ὑπόνοιαν περὶ θανάτου τοῦ Μενελάου. φόβον βλέπων Αἰσχ. Ἑπτ. 485 ὅπου ἡ ὀρθὴ γρ. εἶνε φόνον, εὑρεθεῖσα ὑπὸ τοῦ Canter: ἔχων φονικὸν βλέμμα. εἰ φόβους λέγοι Σοφ. Ο. Τ. 917 ἐὰν λέγῃ φοβερὰ πράγματα. Ποτνιάδες δ' ἐπ' ἀσπίδι ἐπίσημα πῶλοι δρομάδες ἐσκίρτων φόβῳ, εὖ πως στρόφιγξιν ἔνδοθεν κυκλούμεναι πόρπαχ' ὑπ' αὐτὸν Εὐρ. Φοίν. 1138 «Ποτνιάδες: Γλαῦκον τὸν Σισύφου φασὶν ἔχειν ἵππους οὕτω λυττώσας, ὥστε καὶ αὐτὸν ὕστερον Γλαῦκον καταφαγεῖν. Ἔτρεφε δὲ ἐν Ποτνίαις, πόλει τῆς Βοιωτίας, ὅθεν καὶ τοὔνομα ἔσχον αἱ ἵπποι Ποτνιάδες». «ἐπίσημα πῶλοι: ἐπίσημον δὲ ἐπὶ τῇ ἀσπίδι αὐτοῦ πῶλοι μανικαὶ καὶ ἐπιτήδειοι εἰς δρόμον ἐσκίρτων ἐν κινήσει» Σχ. «ἐσκίρτων φόβῳ: τῷ περὶ αὐτὰς φόβῳ ἐδόκουν σκιρτᾶν, τ. ἔ. οὕτω φοβεραὶ ἦσαν κατὰ τὴν ἐπιγραφήν, ὡς δοκεῖν σκιρτᾶν» Σχ. Καὶ οἱ νεώτεροι τὸ φόβῳ ἑρμηνεύουσι: φόβον ἐμποιοῦσαι. Ἀλλὰ τὸ φόβῳ σημ. μᾶλλον: ὑπὸ φόβου πτοούμεναι, τὸ δ' εὖ πως: «μὲ κάποιον εὔμορφον τρόπον». εὖ πως. . . πόρπαχ' ὑπ' αὐ-

τόν: «εὐστρόφως κατά τινα τρόπον στρεφόμεναι μηχαναῖς τισιν ἔνδοθεν τῆς ἀσπίδος ὑπὸ αὐτὸν τὸν πόρπακα» Σχ. πρβ. Αἰσχ. Ἑπτ. 373 κλάζουσι κώδωνες φόβον, περὶ οὗ ἴδε κλαγγάνω. οὐκ αἰνῶ φόβον, ὅστις φοβεῖται μὴ διεξελθὼν λόγῳ Εὐρ. Τρ. 1165 δὲν ἐπιδοκιμάζω τὸν φόβον ἐν ἐκείνῳ, ὅστις φοβεῖται αὐτόν, χωρὶς νὰ τὸν ἐξετάσῃ προηγουμένως διὰ τοῦ λογικοῦ.

φοῖβος ὁ: τορὸς Φοῖβος Αἰσχ. Χο. 32, ἴδ. ὀνειρόμαντις

φοίνιξ -ικος ὁ, ἕτερος τύπος τοῦ φοινός, φοίνιος· οὐδ' ὑπὸ παρθενίας τὸν ὑπὸ βλεφάροις φοίνικ' ἐρύθημα προσώπου αἰδομένα Εὐρ. Φοιν. 1499 οὐδ' ἔστιν ὁ ὑπὸ τοῖς ἐμοῖς βλεφάροις (ὄμμασι) φοίνιξ (τὰ αἱματηρὰ καταδρύμματα) αἰδοῖον τοῦ προσώπου ἐρύθημα, ὅπερ ὑπὸ παρθενίας ἐρυθριῶ (Δ. Βερν.). φοίνικι κανόνι Εὐρ. Ἡρ. Μ. 945 ἐνν. τὸ ἐρυθροβαφὲς νῆμα, δι' οὗ ἐσημάδευον τοὺς λίθους.

φοινίσσω: (πρὶν ἂν) μάστιγι πρῶτον νῶτα φοινιχθεὶς θάνῃ Σοφ. Αἴ. 110 πρὶν ἀποθάνῃ, ἀφ' οὗ πρῶτον κοκκινίσῃ ἡ ῥάχις του ἀπὸ τὴν μάστιγα. Περιτταὶ αἱ διορθ. φανῇ ἢ βαφῇ. ὀρωμέναν φοινίσσουσα παρηΐδ' ἐμὰν αἰσχύνᾳ Εὐρ. Ἰ. Α 187, ἴδ. ὁράω.

φοιταλέος 3 καὶ 2, μανιωδῶς τῇδε κἀκεῖσε φοιτῶν, παράκοπος, μανιώδης· θεόσυτον (θεόπεμπτον) νόσον ὠνόμασας, ἃ μαραίνει με χρίουσα κέντροισι φοιταλέοις (μανικοῖς) Αἰσχ. Πρ. 623 ἡ μαραίνει («τήκει καὶ καταβάλλει» νέ. Σχ) με κεντοῦσα κέντροις μανικοῖς.

φοιτάω, Ἰων. φοιτέω: φοίτα μακρὰ βιβάς Ο 686 ἐφοίτα («ἐπήγαινε καὶ ἤρχετο») μακροῖς βήμασι βαδίζων. τῶν (ἀγρίων βοῶν) τὰ κέρεα ὑπερμεγάθεά ἐστι τὰ ἐς Ἕλληνας φοιτέοντα Ἡρ. 7, 126 ὧν τὰ κέρατα εἶνε ὑπερμεγέθη, τὰ εἰς τὴν Ἑλλάδα εἰσαγόμενα. Ἐπὶ τοιαύτης ἐμπορικῆς ἐννοίας τὸ φοιτᾶν καὶ 3, 115, ἰδίως δ' ἐπὶ σίτου. Ἡρ. 7, 23 κἀλλ. Ξεν. Ἑλλ. 1,1, 35 κλ. αἱ ἀγγελίαι ἐφοίτων Θουκ. 6,104 ἤρχοντο. οὐδ' ἥδομαι φοιτῶσ' ἐπ' ἀνθρώπων φίλους Εὐρ. Ἡρ. Μ. 846 οὐδ' εὐχαρίστως ἐπισκέπτομαι τοὺς φίλους ἐκ τῶν ἀνθρωπων. φοιτῶντ' ἄνδρα μανιάσιν νόσοις ὤτρυνον, εἰσέβαλλον εἰς ἕρκη κακά Σοφ. Αἴ. 59 «περιερχόμενον ἐν τοῖς ποιμνίοις διὰ τὴν μανίαν» Σχ. ἐρεθίζων ἔρριπτον μέσα (ὡς ἄγριον ζῷον) εἰς τὰ ὀλέθρια δίκτυα τῶν Ἐρινύων· πρβ. φοῖτος. φοιτᾷς ὑπερπόντιος ἔν τ' ἀγρονόμοις αὐλαῖς Σοφ. Ἀντ. 785, ἴδε ὑπερπόντιος. λαμπροὶ δ' ἐν ἥβῃ καὶ πόλεως ἀγάλματα φοιτῶσι Ἀπ. Εὐρ. 282 περιφέρονται λαμπροὶ καὶ ἀκμαῖοι ἐν νεότητι καὶ ὡς ἀγάλματα (ἐγκαλλωπίσματα) τῆς πόλεως.

φοῖτος ὁ: σὺν φοίτῳ φρενῶν Αἰσχ. Ἑπτ. 648 σὺν ἐπιφοιτήσει μανίας.

φονεύς ὁ, ὡς θηλ. τὴν μητέρα φονέα οὖσαν Ἀντιφ. 1, 3 καὶ ἀλλ.

φονεύω: ὡς οὐχὶ Πηλέως, ἀλλ' ἀλάστορος γεγώς, εἴπερ (Aldina: ὥσπερ) φονεύει τοὐμὸν ὄνομα σῷ πόσει Εὐρ. Ἰ. Α 947 ὡσὰν νὰ ἐγεννήθην ὄχι ἐκ τοῦ Πηλέως, ἀλλ' ἔκ τινος κακοποιοῦ δαίμονος, ἀφ' οὗ τὸ ὄνομά μου φονεύει, διὰ τὸν σύζυγόν σου (κατὰ τὴν κρίσιν τοῦ συζύγου σου)· μεταχειρίσθη δηλ. ὁ σύζυγός σου τὸ ὄνομά μου ἵνα προσκαλέσῃ ἐνταῦθα τὴν κόρην σου καὶ τὴν φονεύσῃ. Τὸ εἴπερ φονεύει συναπτέον στενῶς πρὸς τὸ ἀλάστορος γεγώς· πρβ. στ. 938. ἴτω δίκα.. φονεύουσα λαιμῶν διαμπὰξ Βάκχ. 993 ἂς προχωρήσῃ ἡ δίκη.. φονεύουσα, ἀφ' οὗ διατρυπήσῃ τὸν λαιμόν του (διὰ τοῦ ξίφους).

φονή ἡ (φένω) ποιητ. συνήθως ἐν πληθ. ἀριθμ. ἀσπαίροντες ἐν ἀργαλέῃσι φονῇσιν Κ 521 πρβ. «ποῦ σπαρταροῦν μέσα 's τὰ αἵματα χωμένοι». θῆκέ τ' (Ὀρέστης) Αἴγισθον ἐν φοναῖς Πίνδ. Π. 11, 38 τὸν ἔρριψε μέσα 's τὰ αἵματα: τὸν ἐφόνευσεν: «φοναὶ οἱ τόποι, εἰς οὓς φονεύονται». Σχ. Ὁμοίως Ἡσύχ. ἐν φοναῖς πεπτῶτ' ἄθαπτον Σοφ. Ἀντ. 696 ποῦ εἶνε πεσμένος μέσα 's τὰ αἵματα. Ἐν δὲ 1003 σπῶντας (= σπαράττοντας) ἐν χηλαῖσιν ἀλλήλους φοναῖς τὸ φοναῖς οἱ πλεῖστοι = φονικαῖς, ἴδ. φονός. Ἐν δὲ Σοφ. Τρ. 558 ὃ παῖς ἔτ' οὖσα...ἐκ φονῶν ἀνειλόμην ὁ Bergk ἔγραψεν οὕτως ἀντὶ τοῦ φόνων τ. ἔ. τὸ ὁποῖον ἐπῆρα ἐπάνω ἀπὸ τὴν πληγήν του (ἀπὸ τὰ αἵματα).

φονολιβής 2 ὁ στάζων ἀπὸ φόνον, ἀπὸ αἷμα· φονολιβεῖ τύχᾳ φρὴν ἐπιμαίνεται λίπος ἐπ' ὀμμάτων αἵματος εὖ πρέπειν Αἰσχ. Ἀγ. 1427 ἡ διάνοιά σου μαίνεται ἐπὶ τῇ αἱμοσταγεῖ ἐπιτυχίᾳ σου (τ. ἔ. ἡ αἱματηρὰ ἐπιτυχία σου ἐτάραξε τὰς φρένας) φονολιβῆ θρόνον (θρόμβων Bamberger) περὶ πόδα περὶ κάρα πάρεστι γᾶς ὀμφαλὸν προσδρακεῖν αἱμάτων βλοσυρὸν ἀρόμενον (Abresch αἰρούμενον) ἄγος ἔχειν Εὐμ. 164 τὸν αἱμοσταγῆ πανταχόθεν (κυρ. περὶ τὴν κεφαλὴν καὶ τοὺς πόδας) θρόνον (ἐφ' οὗ γνωστὸν ἐκ τῶν προτέρων ὅτι ἐκάθητο ὁ Ὀρέστης), τὸν ὀμφαλὸν τῆς γῆς, δύναταί τις νὰ παρατηρήσῃ ὅτι ἐπῆρεν ἐπάνω του φρικαλέον αἱματηρὸν μίασμα, διὰ νὰ τὸ ἔχῃ (πάντοτε).

φονόρρυτος 2: ἐν δὲ γαίᾳ ζόα φονορύτῳ μέμεικται Αἰσχ. Ἑπτ. 921 ἐν δὲ τῇ αἵματι ῥεούσῃ γῇ ἡ ζωὴ αὐτῶν (τ. ἔ. τὸ αἷμα τῆς ζωῆς αὐτῶν χυθὲν) μέμεικται (ὥστε ἐγένοντο ὁμαίμονες, ὃ συμπέρασμα ἐξάγει καὶ αὐτὸς ὁ ποιητής).

φόνος (ΦΕΝΩ): Μυρτίλου φόνον δικὼν ἐς οἶδμα πόντου Εὐρ. Ὀρ. 990 ἐπέκτασις συστοίχου συντάξεως, ἴδε δίκω. πρὶν ἐτύμως ἴδω τὸν Ἑλένας φόνον καθαιμακτὸν ἐν δόμοις κείμενον Αὐτ. 1357 πρὶν ἂν ἐτύμως ἴδω τὸν Ἑλένης νεκρὸν καθημαγμένον ἐν δόμοις κείμενον. Ἀλλ' ὁ ποιητὴς εἶπε φόνον καθαιμακτὸν κατὰ σύστοιχόν τινα σύνταξιν ἐκ τοῦ καθαιμάσσω φόνον χέων τὸ αἷμα ποιῶ φόνον· πρβ. αἱμάσσειν ἄταν Ἰ. Τ. 226, περὶ οὗ ἴδε αἱμάσσω.

φονός ἡ - όν = φοινός, φόνιος, φονικός (ΦΕΝΩ). σπῶντας ἐν χηλαῖσιν ἀλλήλους φοναῖς Σοφ. 'Αντ. 1003 «σπαράττοντας ἀλλήλους φονικοῖς ὄνυξι» Σχ., ἐμπηγνύντας αὐτοὺς ἀλλήλοις (=ἐν).

φορά ἡ: χρημάτων βιαιότερον φορᾷ Θουκ. 6,85 «χρήματα πρασσόμενοι ἄκοντας» Σχ. ὥστε χρήματα ἄκοντας (ἀναγκαζομένους) φέρειν· ἀλλὰ μᾶλλον τὸ βιαιότερον ἀναφ. εἰς τὸ ἐξηγούμεθα, καθ' ὃν λόγον τὸ αὐτονόμους καὶ τὸ ξυμμαχοῦντες· πρβ. ἐξηγοῦμαι.

φοράδην ἐπίρρ. πᾷ μοι φθογγὰ διαπέταται φοράδην; Σοφ. Ο. Τ. 1310 πρὸς ποίαν διεύθυνσιν φερομένη ἐξαπλώνεται ἡ φωνή μου πετῶσα; Ὁ δυστυχὴς Οἰδίπους εὑρισκόμενος ἐν πλήρει σκότει ἐκπλήττεται πρὸς τὸν ἦχον τῆς ἰδίας φωνῆς, ἣν μόνον αἰσθάνεται ἐν τῷ κενῷ τῷ περιβάλλοντι αὐτόν.

φορβή ἡ: οὐ φορβὰν ἱερᾶς γᾶς σπόρον, οὐκ ἄλλων αἴρων, τῶν νεμόμεσθα Σοφ. Φιλ. 708 τὸν σπόρον ὄχι τῆς ἱερᾶς γῆς, ὄχι τῶν ἄλλων, ἃ νεμόμεθα, αἴρων πρὸς τροφήν.

φορέω: ἀγλαΐας φορέεις ρ 245 φέρεσαι ἀλαζονικῶς. μή νυν ἓν ἦθος μοῦνον ἐν σαυτῷ φόρει, ὡς φῄς σὺ κοὐδὲν ἄλλο, τοῦτ' ὀρθῶς ἔχειν Σοφ. 'Αντ. 701 μὴ λοιπὸν ἕνα μόνον τρόπον σκέψεως ἐν σεαυτῷ φέρε (μὴ κρῖνε καθ' ἕνα μόνον τρόπον)· ὅτι, ὅπως σὺ λέγεις καὶ οὐδὲν ἄλλο (ἤτοι: καὶ ὄχι ὅπως ἄλλος τις λέγει), τοῦτο εἶνε τὸ ὀρθόν. αὐτός μ' ἀφαιροῦ· τόνδε Διονύσου φορῶ Εὐρ. Βάκ. 496 παῖρνέ τον (τὸν θύρσον) ἀπ' ἐπάνω μου σὺ ὁ ἴδιος· (διότι) ὁ θύρσος οὗτος, ποῦ φέρω, εἶνε τοῦ Διονύσου: ὁ θύρσος ὅδε, ὃν φορῶ, Διονύσου ἐστί. λῆμα θούριον φορεῖν 'Αρφ. 'Ιππ. 757 ἔχειν ἀρειμάνιον ἦθος, φρόνημα. Πρὸς τὸ φορεῖν πρβ. τὸ 'Ομ. ἐπιειμένος ἀλκήν (ἴδε ἐπιέννυμι), πρὸς δὲ τὸ λῆμα θούριον τὸ 'Ομ. μνήσασθε θούριδος ἀλκῆς. μὴ σύ γε μητρὸς ἀπ' ἀνθερεῶνος, ἠελίους ἥτις σε τριηκοσίους ἐφόρησα ὑπὸ ζώνῃ Εὐφορίων (Στοβ. 'Ανθ. 78, 5) μὴ σύ γε ἀπαμήσῃς ἀνθερεῶνας (λαιμόν) μητρός, ἥτις ἐφόρησά σε τριηκοσίους ἡλίους (ἡμέρας) ὑπὸ ζώνῃ (ἐν γαστρί). ἀδελφὰ τούτοισιν φορεῖ τὰ τῆς ταλαίνης νηδύος θρεπτήρια Σοφ. Ο. Κ. 1262, ἴδε θρεπτήριος. μὴ καὶ λευκανίηνδε φορεύμενος 'Απολλ. 'Ρ. 2, 192 ὄχι νὰ βάλῃ τίποτε (τροφήν) εἰς τὸ στόμα του (εἰς τὸν λαιμόν του). αὐτὴ δὲ πηγὰς ποταμίους φορουμένη Εὐρ. 'Ηλ. 308 «αὐτὴ ὑδροφοροῦσα οἴκαδε ἐκ τοῦ ποταμοῦ, τ. ἔ. αὐτὴ ἐμαυτῇ ὑδροφοροῦσα. Τὸ δὲ μέσον φορουμένη ὑποδηλοῖ ὅ τι καὶ τὸ αὐτή, τὸ δουλικὸν τῆς ὑδροφορίας» Δ. Βερν. Παθ. κομίζομαι ἐπὶ φορείου, σηκωτός· πατρὸς κατ' εὐχὰς δυσπότμους φορούμενοι Αἰσχ. 'Επτ. 804 ὅταν τοὺς φέρουν σηκωτούς (διὰ νὰ τοὺς θάψουν) συμφώνως μὲ τὰς ἀπαισίας κατάρας τοῦ πατρός των. Διορθοῦσιν ἐν οὐ δέοντι φθατούμενοι, φρουρούμενοι κττ. Ἡ παρ' ἡμῖν συνήθης, καὶ δὴ ὡς κατάρα, φράσις: «νὰ τοὺς σηκώσουν καὶ νὰ τοὺς φέρουν», ἢ «σηκωτοὺς νὰ τοὺς φέρουν (καὶ νὰ τοὺς θάψουν)» διασαφοῦσα σῴζει τὸ χωρίον. Ἐπὶ τῆς αὐτῆς ἐννοίας μεταχειρίζεται ὁ Εὐριπ. τὸ φέρεσθαι, ὡς φερόμενος ἥξεις Βάκχ. 968, περὶ οὗ ἴδε φέρω. ὀκκόθε δὴ στειφάνωμ' (ἔγραψα ἀντὶ τοῦ στεφάνων) ἄθλοις φορέονται Εὐφορίων (Πλουτ. 677 A) ὁπόθεν (ἤτοι: ἐκ τῶν πιτύων λαμβάνοντες) φέρονται στέφανον οἱ Ἴσθμια νικῶντες (κυρ. ἐν τοῖς ἀγῶσι τῶν Ἰσθμίων). ἄμετρα γὰρ δόξαις φορεῖται τοπαζόμενα Πλ. 'Επιν. 976 A διότι ταῦτα ἀμέτρως (ἄνευ μέτρου) φέρονται (στηριζόμενα) εἰς δοξασίας καὶ εἰκασίας.

φορήμεθα Αἰολ. = φορούμεθα.

φορήμεναι, φορῆναι, ἴδ. φορέω.

φόρτος ὁ: κοινὸν φόρτον ταῖσδ' ἔχων χρείας ἐμῆς Εὐρ. 'Ικ. 20 ἔχων κοινὸν μὲ ταύτας τὸ φορτίον τῆς ἀνάγκης (βοηθείας) μου: ἐπιφορτισμένος ἀπὸ κοινοῦ μὲ ταύτας νὰ ζητήσῃ τὴν βοήθειάν μου. τοιαῦτ' ἀφελὼν κακὰ καὶ φόρτον καὶ βωμολοχεύματ' ἀγεννῆ 'Αρφ. Εἰρ. 748 τοιαῦτα (οἷα περιέγραψεν ἀνωτέρω) κακὰ ἐξορίσας (ἐκ τῆς σκηνῆς) καὶ φορτικὰς (ἀηδεῖς) ἀστειότητας καὶ σκώμματα ἀγεννῆ· ἀγεννῆ: ἀσελγῆ καὶ δουλοπρεπῆ v Leeuwen· πρβ. 179. 358.

φραδάζω: γᾶν φράδασσε Πινδ. Ν. 3,26 ἐποίησε δήλην τὴν γῆν.

φραδή ἡ: μελλόντων τετύφλωνται φραδαὶ Πινδ. 'Ο. 12, 9 τὰ σημεῖα τοῦ μέλλοντος εἶνε τυφλά, ἄδηλα: «ἀπροόρατοί εἰσιν αἱ γνώσεις» (Σχ.) τοῦ μέλλοντος. ‖ συμβουλή, ἔνδειξις· θεόθεν εὖ φραδαῖσιν ὡρμημένος Αἰσχ. Χο. 940 ὁ διὰ τῶν θείων βουλῶν αἰσίως καθωδηγημένος (παρωρμημένος). Αἰσχ. Εὐμ. 245, ἴδ. μνηστήρ.

φράζω (αἰολίζων -σδω Θεόκρ. 20,7 ῥ. φραδ-) δεικνύω, λέγω, ὁμαλόν. φράσω. ἔφρᾰσα (φράσσεν 'Απ. 'Ησ. 125G =143 K). 'Αορ. β' ἐπ. ἐπέφρᾰδον καὶ πέφραδον συχν., πεφραδέτην 'Ησ. Θε. 475, πεφράδοι Ξ 335, πεφραδέμεν η 49. 'Ησ. 'Έργ. 766 καὶ πεφραδέειν τ 477, πρκ. πέφρακα 'Ισοκρ. 5, 93. Μέσ. φράζω πρὸς (κατ') ἐμαυτόν, συλλογίζομαι, ἐπ. ποιητ. καὶ νέ. 'Ιων., φράσομαι, καὶ συχνότερον -σσομαι ἐπ. ἐφρασάμην ἐπ. Σόλ. 5, 4. 34, 1. 'Απ. 'Αρχιλ. 94. Αἰσχ. Χο. 112 κἀλλ. Εὐρ. Μήδ. 653 καὶ νέ. 'Ιων. (ἐφρασσάμην, φρασάμην, φρασσ- ἐπ.). 'Αντὶ τούτου ἀόρ. α' παθ. ἐφράσθην τ 485. ψ 260. Πίνδ. Ν. 5, 34 Εὐρ. 'Εκ. 546. Θεόκρ. 25, 217. 'Ηρ. 1, 84 κἀλλ. ἐπ- ε 183. 'Ηρ. 4, 200. 'Αρρ. 'Αν. 3,2 κἀλλ. Πρκ. μέσ. πέφρασμαι Αἰσχ. 'Ικ. 447, ξυμ- Σοφ. 'Αντ. 364, πέφρασμαι παθ. 'Ιπποκρ. 3, 208 καὶ 'Ισοκρ. 15, 195. 16, 39. (προπεφραδμένος 'Ησ. 'Έργ. 655). φραστέος Πλ. 'Επ. 312 D ἄφραστος Αἰσχ. 'Ικ. 92. Σπάν. παρασχηματ. φραδάζω· μόνον φράδασσε Πινδ. Ν. 3,26. ἦ οἱ 'Αθήνη πέφραδε

δῖον ὑφορβόν ξ 3 ἐκεῖ ὅπου ἡ Ἀθηνᾶ εἶχε δηλώση τὸν δ. ὑφορβόν, τ. ἔ. εἶχε δηλώσει ὅτι κατῴκει ὁ ὑφορβός. σήματ' ἀναγνούσῃ, τά οἱ ἔμπεδα πέφραδε Ὀδυσσεύς τ 250 ἀναγνωρισάσῃ τὰ σημεῖα, τὰ ὁποῖα ἀσφαλῶς ἐφανέρωσε (περιέγραψεν) εἰς αὐτὴν ὁ Ὀδ. ἐπέφραδε χερσὶν ἑλέσθαι θ 68 τῷ ἔδειξε νὰ τὴν λάβῃ (ξεκρεμάσῃ) μὲ τὰς χεῖράς του. ὃς ἂν βουλόμενος τἀληθῆ λέγειν μηδέποτε ταὐτὰ περὶ τῶν αὐτῶν λέγῃ, ἀλλ' ὁδόν τε φράζων (δεικνύων) τὴν αὐτήν, τοτὲ μὲν πρὸς ἕω, τοτὲ δὲ πρὸς ἑσπέραν φράζῃ (δεικνύῃ αὐτὴν) Ξεν. Ἀπ. 4, 2, 21 κἀνεμοέντων αἰγίδων φράσαι κότον Αἰσχ. Χο. 591, ἴδε πεδάμερος. τῆς μητρὸς ἥκω τῆς ἐμῆς φράσων ἐν οἷς νῦν ἐστιν οἷς (ὡς Nauck) θ' ἥμαρτεν οὐχ ἑκουσία Σοφ. Τρ 1122 ἥκω φράσων περὶ τῆς ἐμῆς μητρός, ὡς ἔχει νῦν τὰ κατ' αὐτὴν καὶ ὡς ἥμαρτεν οὐχ ἑκουσία (κατὰ τὴν παραδεδομένην γρ. κυρ.= καὶ ταῦτα, ἐν οἷς ἥμαρτεν). Περὶ τῆς συντάξεως τοῦ φράσων κττ. μετὰ γεν. πρβ. Φιλ. 439. Ο. Κ. 355. λ 174 κἀλλ. ὤμοι, τάχ', ὡς ἔοικας, ὡς νοσεῖς φράσεις (φανεῖς Axt) Σοφ. Τρ. 1241 ταχέως, ὡς φαίνεσαι (ἀντὶ τοῦ ὡς φαίνεται = ὡς ἔοικε), θὰ δείξῃς πόσον εἶσαι ἀσθενής. Ἄλλοι δὲ γράφουσι: «οἴμοι, σαφῶς ἔοικας, ὡς νοσεῖς φράσαι.» Περὶ τοῦ φράζειν (=δηλοῦν, δεικνύναι ἄνευ φωνῆς) πρβ. Ἡρ. 4, 113. Αἰσχ. Ἀγ. 1045. τάδε φράσαι δίκαια Διόθεν κράτη Αἰσχ. Ἱκ. 445 τάδε λόγισαι (σκέψαι) τὰ δίκαια ἐκ Διὸς θέσμια. ἐγὼ δὲ μάτηρ μὲν οἷα φράζω κέ. Σοφ. Τρ. 526 κέ. Περὶ τοῦ χωρίου τούτου πολλὰ ἔγραψα ἐν τῷ βιβλίῳ, οὗ ἡ ἐπιγραφὴ Album Gratulatorium in honorem Henr. v. Herwerden, Trajecti 1902, ἐξ ὧν ἀποσπῶ σχετικά τινα (ἴδε σελ. 9 κέ.): «Ἐπεὶ ὁ ποιητὴς τὴν μάχην ταύτην κατὰ λεπτὸν καὶ ἀκριβῶς περιέγραψεν, εἰπὼν ὡς ἡ ἁβρὰ νύμφα παρὰ τῷ μακρόθεν ὁρωμένῳ λόφῳ καθῆστο τὸν ἑαυτῆς νυμφίον προσμένουσα, νικήσαντα δήπου, σαφῶς ἐδήλωσε μεθ' ὅσης καὶ οἵας ἀγωνίας τὸ τέλος τοῦ ἀγῶνος προσεδόκα. Ταῦτα δὲ δηλώσας ἐπέστη, καὶ εἰκὸς ἦν . . ἐπιστάντα παραβαλεῖν τὰ τότε (στ. 518—526) πρὸς τὰ νῦν καὶ φράσαι, ὡς μὲν ἡ τότε περιμάχητος νύμφη νῦν οἰκτρά ἐστιν ἀναμένουσα, οἵᾳ δὲ πικρᾷ ὀδύνῃ συνέχεται νῦν, ὁρῶσα μὲν ὑπόστεγον Ἰόλην, τὸ ἐπακτὸν νόσημα, σφοδρῶς δ' ἐρῶσα αὐτὴ τοῦ Ἡρακλέους. . . Ἀληθῶς δ' ἐνταῦθα (στ. 526 κέ.) ὁ χορός, τὰ τότε χαίρειν ἐάσας, ἐπὶ τὰ παρόντα τρέπεται πράγματα, ὡς νῦν ἔχει Δηάνειρα σκοπῶν· « Ἀλλ' ἐγὼ μέν, φησίν, ὥσπερ μήτηρ σφόδρα φιλοῦσα Δηάνειραν ἀνασκοπῶ τὰ τότε λεγόμενα καὶ φράζω αὐτά· ἐν ᾧ δὲ ταῦτ' ἐγὼ ποιῶ, ἡ τότε περιμάχητος νύμφη νῦν οἰκτρὰ οἰκτρῶς ἀναμένει (τὸν Ἡρακλέα δῆλον ὅτι) καὶ διατελεῖ ἀναμένουσα, καὶ ὥσπερ δάμαλις ἀπὸ τῆς μητρὸς ἐξαίφνης ἀποστᾶσα ἀπεχώρησεν, οὐδὲν πρὸς τὰς φίλας τοῦ χοροῦ παρθένους εἰποῦσα»». καὶ δὴ πέφρασμαι Αἰσχ. Ἱκ. 446 καὶ δὴ ἔσκεμμαι. δὴ γάρ μοι ἐπέφραδε πότνια Κίρκη κ 549 διότι ἤδη μοι ἔδωκεν ὁδηγίας (περὶ τῆς ὁδοῦ) ἡ σεβασμία Κίρκη. κοὔτε τι πομπᾶς τήνας ἐφρασάμαν Θεόκρ. 2, 83 «αἴσθησιν ἔσχον» Σχ. ψυχὰν Ἀΐδᾳ τελέων οὐ φράζεται δόξας ἄνευθεν Πινδ. Ἰ. 1, 68 δὲν συλλογίζεται, ὅτι θ' ἀποδώσῃ (οἷον ὀφειλομένην) εἰς τὸν Ἅιδην τὴν ψυχήν του ἄνευ δόξης.

φρασί Πινδ = φρεσί.

φράσδω Δωρ. ἀντὶ φράζω.

φράσσω: πῶς γάρ τις ἐχθροῖς ἐχθρὰ πορσύνων, φίλοις δοκοῦσιν εἶναι, πημονῆς (Auratus: πημονήν) ἀρκύστατ' ἂν (Elmsley: ἀρκύστατον) φράξειεν ὕψος κρεῖσσον ἐκ πηδήματος; Αἰσχ. Ἀγ. 1373 πῶς τις παρασκευάζων ἐχθρικὰ εἰς τοὺς ἐχθρούς, οἱ ὁποῖοι φαίνονται ὅτι εἶναι φίλοι, ἤθελεν ἀποφράξῃ τὴν ἐντὸς δικτύου (ἢ ὡς δίκτυον) στημένην (ὅθεν: ἐνεδρεύουσαν) βλάβην (κατὰ τὴν διόρθ.: ἤθελεν ἀποφράξῃ τὰ δίκτυα τῆς βλάβης ἐν οἷς ἡ βλάβη) τόσον ὑψηλά, ὥστε νὰ μὴ δύναται νὰ πηδήσῃ ἔξω (καὶ νὰ βλάψῃ); Παραλείποντες δὲ τὰς ἄλλας διορθώσεις δυνάμεθα νὰ μεταγράψωμεν μόνον τὸ εἶναι εἰς εἶτ' ἄν. τά τε ἄλλα τῶν τειχῶν καὶ λιμένων περὶ τὰ ἡμιτέλεστα φραξάμενοι ἐφύλασσον Θουκ. 3, 3 ὅλα τὰ ἄλλα τὰ ἀφορῶντα εἰς τὰ τείχη καὶ τοὺς λιμένας ἐφύλαττον, ἀφ' οὗ τὰ ἡμιτέλεστα ἔφραξαν (ἐξησφάλισαν διὰ πασσάλων καὶ ἄλλων προσωρινῶν μέτρων). ἔρνεσι φράξαι χεῖρα Πινδ. Ἰ. 1, 66 νὰ περιφράξῃ τὴν χεῖρά του μὲ ἔρνη (νικητήρια)· διότι ὁ λαμβάνων πολλοὺς στεφάνους, τὸν μὲν ἕνα ἔφερεν ἐπὶ τῆς κεφαλῆς, τοὺς δ' ἄλλους εἰς τὰς χεῖρας. Ἄλλοι ἄλλως, ἴδε πτέρυξ. Ἐν Σοφ. Ἀντ. 235 τῆς ἐλπίδος γὰρ ἔρχομαι πεφραγμένος (Δ. Γ. πεπραγμένος) ἐξ οὗ ὁ Df: τῆς ἐλπίδος γὰρ ἔρχομαι πεφαργμένος οἷον: ἠσφαλισμένος ὑπὸ τῆς ἐλπίδος. Ὁ Σχ. ἑρμηνεύει: «ὑπὸ γὰρ τῆς ἐλπίδος νενικημένος ἐλήλυθα» ἢ οὕτως «ἀντειλημμένος τῆς ἐλπίδος ἐλήλυθα», οὗ ἡ β' ἐξήγησις προϋποθέτει τὴν γρ. δεδραγμένος (ἀπρὶξ ἐχόμενος), ἣν καὶ ἀναφέρει ἐν σχόλιον. Ὁ Df παραβάλλει Μ. Ἐ. σ. 667, 22: «πεφαργμένος ἀντὶ τοῦ πεφραγμένος, καὶ ἐφάρξαντο ἀντὶ τοῦ ἐφράξαντο, καὶ τὸ φαρκτόν, φρακτόν».

φρενοδαλής 2: Αἰσχ. Εὐμ. 331, ἴδ. παρακοπή.

φρενόθεν ἐπίρρ. ἐκ φρενός· οὔποτε γὰρ φρενόθεν γ' ἐπ' ἀριστερὰ (κυρ. ὡς ὅτε ἐπέπιπτες ἀπὸ φρενῶν ἐπ' ἀφροσύνην) ἔβας τόσσον, ἐν ποίμναις πίτνων Σοφ. Αἴ. 183 διότι ποτὲ δὲν ἀπεμακρύνθης ἐκ τῶν φρενῶν σου εἰς τόσην ἀπερισκεψίαν, ὥστε νὰ ἐπιπέσῃς κατὰ τῶν ποιμνίων· ἴδ. ἀριστερός.

φρενοπληγής 2: Αἰσχ. Πρ. 904, ὅπου γρ. μετὰ τοῦ Cobet φρενοπλῆγες ἐκ τοῦ φρενοπλήξ -ῆγος

φρενοτέκτων-ονος 2 ὁ τεχνίτης ὁ ἐργαζόμενος μὲ τὸν

νοῦν (ποῦ μαστορεύει) Ἀρφ. Βατρ. 820, ἀντίθ. τῷ χειροτέχνης. χειρῶναξ.

φρενόω: εὖ τοῦτο (ἐνν. ἔλεξας) κἀφρένωσας οὐχ ἥκιστά με Αἰσχ. Χο. 115 καλὰ τὸ εἶπες καί με ὡδήγησες πολὺ καλά.

φρήν, Δωρ. φράν, ἡ: ὅθι φρένες ἧπαρ ἔχουσιν ι 301 ἐκεῖ ὅπου τὸ διάφραγμα περιέχει (περικλείει) τὸ ἧπαρ· ὅθεν: ἐν καιρίῳ τόπῳ. Αἴας ἔπαξε διὰ φρενῶν ξίφος Πινδ. Ν. 7, 26 ἐνέπηξε τὸ ξίφος εἰς τὸ στῆθός του. κραδία δὲ φόβῳ φρένα λακτίζει Αἰσχ. Πρ. 907 ἐκ τοῦ φόβου (παλλομένη) λακτίζει τὸ διάφραγμα. πρὸς δ' εὐσεβείας ἦν ἐμοὶ τόδ' ἐν φρεσὶν (= ἐνθύμιον), τοιόνδε πρᾶγμα μὴ καρανῶσαι φίλοις Αἰσχ. Χο. 700 ἐκ μέρους τῆς εὐσεβείας εἶχον τύψεις συνειδήσεως νὰ μὴ ἐκτελέσω διὰ τοὺς φίλους μου ἐν τοιοῦτον πρᾶγμα. πάντες ἐτέρφθησαν φρέν' ἀέθλοις θ 131 κυρ. ὅλοι διεσκέδασαν μὲ τοὺς ἀγῶνας εἰς τὴν καρδίαν των. Τὸ ἑν. φρένα ἐπὶ πολλῶν. βαρεῖα γὰρ φρήν Εὐρ. Μήδ. 38 «τὸ βαρὺς ἐνταῦθα ἐπὶ τοῦ χαλεποῦ, ὄχι «βαρυνομένη καὶ λυπουμένη» ὡς ὁ Σχ., οὐδ' ἐπὶ τοῦ βιαίου, ὡς κοινῶς, οὐδ' = βαρεῖα αὐτῆς (τῆς Μηδείας) ἡ φρήν, ἀλλὰ σχηματικῶς: βαρεῖα γὰρ (αὕτη, ἡ Μήδεια, ἐστί) φρήν, καθ' ἃ καὶ ἐν τῇ συνηθείᾳ λέγομεν: εἶνε (ὁ δεῖνα) βαρὺ κεφάλι, ἀντὶ τοῦ: εἶνε βαρυκέφαλος» Δ. Βερν. σίτου τε γλυκεροῖο περὶ φρένας ἵμερος αἱρεῖ Λ 89 ἐπιθυμία γλυκεροῦ σίτου καταλαμβάνει πέριξ τὴν καρδίαν αὐτοῦ. ἢ τὴν ἐμὴν ἄναγνον ἐκλιπὼν φρένα; Εὐρ. Ἱππ. 1448 τ. ἔ. ἐκλιπὼν τὴν ἐμὴν φρένα (προαίρεσιν) ἀνάγνιστον; ἀτηρᾷ φρενί Σοφ. Τρ. 264 μὲ διάθεσιν βλαπτικήν, κακεντρεχῆ· ἴδε ἐπιρροθέω. τὸ μὴ φρονοῦν γὰρ ὡσπερεὶ βοτὸν τρέφειν ἀνάγκη, πῶς γὰρ οὔ, τρόπῳ φρενός Αἰσχ. Χο. 749 τὸ ἄμοιρον λογικοῦ (τὸ μὴ αἰσθανόμενον) ὡς ζῷον εἶνε ἀνάγκη νὰ τρέφῃ τις διὰ τῆς μεθόδου τῆς συννενοήσεως (δηλ. πρέπει νὰ ἐξεύρῃ τὸν τρόπον νὰ ἐννοῇ, νὰ συνεννοῆται). Ἄλλοι: συμφώνως μὲ τὴν διάθεσιν (τοῦ παιδίου). Μᾶλλον: διά τινος τρόπου (εἴδους) σκέψεως· ὥστε τὸ λογοπαίγνιον νὰ εἶνε: τὸ μὴ σκεπτόμενον. . . δι' ἑνὸς εἴδους σκέψεως (ἐκ μέρους τῆς τροφοῦ). σὺ δ' εὔτροχον μὲν γλῶσσαν ὡς φρονῶν ἔχεις, ἐν τοῖς λόγοισι δ' οὐκ ἔνεισί σοι φρένες Εὐρ. Βάκχ. 268 σὺ δ' ἔχεις μὲν γλῶσσαν εὔστροφον ὡς (νομίζων ὅτι εἶσαι) ἄνθρωπος ἔχων φρένας, ἀλλ' ἐν τοῖς λόγοις σου ὅμως δὲν ὑπάρχουν φρένες. Τὸ φρονῶν μετεχειρίσθη ὁ ποιητὴς ἐπίτηδες διὰ τὸ ἐπιφερόμενον φρένες. μή νύν ποτ', ὦ παῖ, τὰς φρένας ὑφ' ἡδονῆς (ἴσως γρ. μετὰ τοῦ Meineke σύ γ' ἡδονῆς ἢ σύ γ' ἡδονῇ) γυναικὸς οὕνεκ' ἐκβάλῃς Σοφ. Ἀντ. 648 ποτὲ λοιπὸν μὴ χάσῃς τὸν νοῦν σου (μὴ ξεμυαλισθῇς) ἀπὸ ἐπιθυμίαν (ἕνεκα) γυναικός. κάρτ' ἔχοντας εὖ φρενῶν Εὐρ. Ἱππ. 462, ἴδε δοκέω σελ. 309b. τῷ γὰρ ἐπὶ φρεσὶ θῆκε θεά Α 55 = φ1, ἴδε ἐπιτίθημι. ἐν φρεσὶ θέσθε ἕκαστος αἰδῶ καὶ νέμεσιν Ν121, ἴδε τίθημι σελ. 1207a. σὺ σῇσιν ἔχε φρεσί, μηδέ σε λήθη αἱρείτω Β 33 «σὺ ἐπὶ τῷ σῷ λογισμῷ ταῦτα κάτεχε («ἔχε τα καλὰ εἰς τὸν νοῦν σου»), μηδὲ λήθη καταχρατείτω» Γαζῆς. τὸ χαίρειν μὴ μαθόνθ' ὅπου φρενῶν Αἰσχ. Εὐμ. 301 χωρὶς νὰ μάθῃ εἰς ποῖον μέρος τῆς καρδίας εὑρίσκεται ἡ χαρὰ (διότι δὲν θὰ χαρῇς ποτε). οὐκ ἄρα σοί γ' ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν ρ 454, ἴδε σελ. 497b. τάλανες, ὅτι ποτὲ μονομάχου ἐπὶ φρέν' ἠλθέτην Εὐρ. Φοίν. 1309 δυστυχεῖς, διότι ποτε συνέλαβον τὴν ἰδέαν νὰ μονομαχήσωσι· ὅπου τὸ φρένα = νόημα. ἐκ φρενὸς ὀρθῶς με λιγαίνειν Αἰσχ. Ἑπτ. 859 ὅτι θρηνῶ εἰλικρινῶς ἀπὸ καρδίας. λέξω . τὸν ἐκ φρενὸς λόγον Χο. 106 τὸν ἐκ τῆς καρδίας προερχόμενον λόγον (πρβ. τἀπὸ καρδίας Εὐρ. Ἰ. Α. 475). Περσέως ἐν φρεσὶν καρδίαν σχέθων Αἰσχ. Χο. 829, ἴδε προπράσσω. νεβροὶ — οὐδ' ἄρα τίς σφι μετὰ φρεσὶ γίγνεται ἀλκή Δ 245 «οὐδέ τις αὐτοῖς ἐν λογισμῷ γίνεται ἰσχύς» Γαζῆς: δὲν ἔχουσι θάρρος εἰς τὴν καρδίαν των. ἐς φρένα θυμὸς ἀγέρθη ε 458, ἴδε ἀγείρω. οὐ γὰρ μοχλῶν δεῖ μᾶλλον ἢ νοῦ καὶ φρενῶν Ἀρφ. Λυσ. 432 αἱ φρένες εἶνε ἡ ἕδρα τοῦ νοῦ, κατὰ v Leeuven, ὡς ἐν ι 362. Ὁμοίως Θεσμ. 291. Βάτρ. 534 κἀλλ. ὀρθᾷ φρενὶ Πινδ. Ὀ. 8, 24, ἴδε ῥέπω. βουλαῖσι φρὴν πράσσει Ν. 1, 27 ἴδε ἕπομαι. κεχείμανται φόβῳ φρένες Π. 9, 33, ἴδε χειμαίνω. ἀμφικρέμανται φρένας ἐλπίδες Ι. 2, 43 ἴδε ἀμφικρέμαμαι. βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος Αἰσχ. Ἑπτ. 580, ἴδ. καρποῦμαι. φρενὶ λαβόντες (= νόῳ λαβόντες 8, 19) τὸν λόγον Ἡρ. 9, 10 τὸ ἔλαβον ὑπὸ σημείωσιν. φρενῶν ἐς τὰ ἐμεωυτοῦ πρῶτα οὔκω ἀνήκω 7, 13 «δὲν ἦλθα ἀκόμη 'ς τὰ πρῶτά μου».

φρίσσω, Ἀττ. φρίττω, ῥ. φρικ-, εἶμαι τραχὺς καὶ ἀνώμαλος, εἶμαι ἠνωρθωμένος, «ἀνατριχιάζω». φρίξω μτγν. ἔφριξα ἀπὸ τοῦ Ὁμ. πασίχρηστον· ἐπίσης πέφρικα μετὰ σημ. ἐνεστ. πέφρικαν ἀντὶ -ασι Λυκόφρ. 252 (πρβ. ἔοργαν, ἐλήλυθαν, πέφυκαν κττ. Ἀλεξανδρ.). πεφρίκοντας Πινδ. Π. 4, 183. [Μέσ. φριξάμενος Πολυαίν. 4, 6, 7 ἐφθαρμένον: φρυαξάμενος Melber]. φρίσσουσιν ἄρουραι Ψ 599 τὰ χωράφια ἀνατριχιάζουν ἀπὸ τὰ στάχυα, τ. ἔ. ὅπως τις ἔχει ἠνωρθωμένας τὰς τρίχας (εἶνε ἀνατριχιασμένος), οὕτω καὶ τὰ χωράφια εἶνε ἀνατριχιασμένα ἀπὸ τὰ στάχυα: αἱ τρίχες τῶν χωραφίων εἶνε οἱ στάχυς. Ὁ Εὐστάθιος παραβάλλει τὰς ὁμοίας φράσεις: τὸ λήϊνον φρίσσει ἀσταχύεσσιν, ὁ κάπρος τῇ λοφιᾷ, ὁ ἄνθρωπος ταῖς θριξίν, ἡ μάχη ταῖς ἐγχείαις καὶ ἡ θάλασσα τοῖς κύμασι. πρβ. φρίξας κάρπιμος στάχυς Εὐρ. Ἱκ. 31 ἀνορθωθείς· «σήκωσε ἐπάνω τὸ κεφάλι του.» ἔφριξεν αἰθὴρ τόνδε κραινόντων λόγον Αἰσχ. Ἱκ. 616, ἴδ. πανδημία. καὶ κάρτα (κρᾶτα Bergk) φρίξας εὐλόφῳ σφηκώματι χαλ-

κηλάτοις ὅπλοισι μητρὸς ἐξέδυ 'Απ. Σοφ. 317 ὁ ἐπιχώριος βλαστὸς (τῶν Σπαρτῶν) ἀνορθώσας τὴν κεφαλὴν («ἀναφὺς ἄρτιος» Ἡσύχ.) σὺν τῷ εὐλ. σφηκώματι ἐξέδυ σὺν αὐτοῖς χαλκ. ὅπλοις ἐκ τῆς μητρὸς γῆς. ἔφριξεν μάχη ἐγχείῃσιν Ν 339 «ἐπυκνώθη δὲ ἡ μάχη τῇ τῶν δοράτων ἀνατάσει· φρίσσειν γὰρ τὸ ὀρθοῦσθαι πυκνῶς» Σχ. τὰ ἀνορθούμενα δόρατα τῶν παρατεταγμένων (καὶ κινουμένων) ἀνδρῶν ὁμοιάζουσι πρὸς τὰς ἀνορθουμένας τρίχας. φάλαγγες σάκεσίν τε καὶ ἔγχεσι πεφρικυῖαι Δ 282 «ὀρθὰ ἔχουσαι ἔτι πρὸ τῆς συμβολῆς τὰ σάκεα καὶ τὰ ἔγχεα» Εὐστάθ. πρβ. Εὐρ. Φοίν. 1121. φιάλαν χρυσῷ πεφρικυῖαν Πινδ. 'Ι. 5, 40 τραχεῖαν ὡς ἐκ τῶν χρυσῶν ποικιλμάτων· «ὡς ἐξοχὰς ἐχούσης τῆς φιάλης καὶ τετραχυμμένης τῇ ποικιλίᾳ τοῦ χρυσοῦ» 'Αρίσταρχος. καί νιν οὔπω τεθναότ', ἄσθματι δὲ φρίσσοντα πνοὰς ἔκιχεν Πινδ.Ν.10, 74 «καὶ δὴ αὐτὸν οὔπω τεθνηκότα, πνευστιῶντα (ἤ: τὰς πνοὰς ἀποψυχρούμενον) δὲ κατέλαβεν» Σχ. κατέλαβεν αὐτὸν ἀναπνέοντα συχνὰ καὶ μετὰ δυσκολίας. Τὸ φρίσσειν πνοὰς κυρ.=ἐξάγειν φρισσούσας (=φρίσσειν ποιούσας) πνοάς. οὐχὶ φρίττουσιν ἐν ὑμῖν, ὑπὲρ ὧν προσήκει παθεῖν αὐτούς Δημ. 51, 9 δὲν τρέμουσιν ἐνώπιον ὑμῶν δι' ὅσα εἶνε πρέπον νὰ πάθωσιν. ἅλω, δὲ πολλήν, ἀσπίδος κύκλον λέγω, ἔφριξα δινήσαντος Αἰσχ. 'Επτ. 476 ἐξεπλάγην δέ, δὲν θὰ τὸ ἀρνηθῶ, ὅταν περιαγαγὼν τὴν ἀσπίδα ἐσχημάτισα μεγάλην ἅλων. οὔποτ' ἐμὰ φρὴν ὧδ' ἀλίαστος φρίσσει ταρβεῖ 'Εκ. 86 ὅπου τὰ δύο ῥήματα παρατίθενται ἐπὶ τὸ ἐμφαντικώτερον: φρικιᾷ («ἀνατριχιάζει») τρέμει· ἴδε ἀλίαστος. ἔφριξ' ἔρωτι Σοφ. Αἴ. 693 ἀνετρίχιασα, φρικιῶ, ἀπὸ τὴν εὐχαρίστησιν. ‖ μαινόμενον δὲ ἰδὼν (ὁ δεισιδαίμων) ἢ ἐπίληπτον φρίξας εἰς κόλπον πτύσαι Θεοφρ. Χαρ. 16, ἴδ. πτύω.

φροιμιάζομαι (ἴδ. προοιμιάζομαι): τούτους ἐν εὐχαῖς φροιμιάζομαι θεοὺς Αἰσχ. Εὐμ. 20 ἐν ταῖς προσευχαῖς μου τούτους τοὺς θεοὺς μνημονεύω πρώτους. Τὸ ἐν εὐχαῖς ἀντιδιαστέλλεται τῷ ἐν λόγοις, τ.ἔ. ἐν τῷ τιμητικῷ περὶ αὐτῶν λόγῳ. φροιμιάζονται γὰρ ὡς τυραννίδος σημεῖα πράσσοντες πόλει Αἰσχ. 'Αγ. 1353 τὰ προοίμιά των δεικνύουν, ὅτι ἐνεργῶ ἐναντίον της πράγματα, τὰ ὁποῖα εἶνε σημεῖα τυραννίδος.

φροίμιον τό, συνηρ. ἐκ τοῦ προοίμιον· φροίμιον χορεύσομαι Αἰσχ. 'Αγ. 31. ἴδε χορεύω. Καὶ ἐπὶ κακολογίας παρ' Αἰσχύλ. 'Επτ. 7: φροιμίοις πολυρρόθοις, ὅπου αἱ κακολογίαι εἶνε τὰ προοίμια τῶν ἑξῆς οἰμωγμάτων. εἴ τι τοῦδε φροιμίου ματᾷ Αἰσχ. Εὐμ. 142, ἴδε ματάω. καί μοι τὸ μὲν σὸν ὧδε φροιμίοις ἔχει Εὐρ. 'Εκ. 1195=«καὶ σοὶ μὲν ἃ εἶχον λέγειν ὧδέ μοι πεφροιμίασται» Δ. Βερν.

φρονέω σκέπτομαι, εἶμαι εἰς τὰς φρένας μου, αἰσθάνομαι, ἀντιλαμβάνομαι, γινώσκω, νομίζω, διανοοῦμαι νά, ἔχω τοιαῦτα ἢ τοιαῦτα φρονήματα, ἔχω φρόνημα, θάρρος, τόλμην, καυχῶμαι, σκοπῶ. «Δοκεῖ τὸ νοεῖν καὶ τὸ φρονεῖν ὥσπερ αἰσθάνεσθαί τι εἶναι· ἐν ἀμφοτέροις γὰρ τούτοις κρίνει τι ἡ ψυχὴ καὶ γνωρίζει τῶν ὄντων, καὶ οἵ γε ἀρχαῖοι τὸ φρονεῖν καὶ τὸ αἰσθάνεσθαι ταὐτὸν εἶναί φασιν, ὥσπερ καὶ 'Εμπεδοκλῆς εἴρηκε· πρὸς παρεὸν γὰρ μῆτις ἀέξεται ἀνθρώποισιν (ἴδ. 'Απ. 106 ἐν τῷ ἀέξω)· καὶ ἐν ἄλλοις: ὅθεν σφίσιν αἰεὶ καὶ τὸ φρονεῖν ἀλλοῖα παρίσταται»(ἴδε ἀλλοῖος) 'Αριστοτ.π. Ψυχ. 3,3 (=427 a 21). ἄριστοι μάχεσθαί τε φρονέειν τε Ζ 79 ἱκανώτατοι εἰς τὸ μάχεσθαι καὶ τὸ βουλεύεσθαι: ἄριστοι εἰς τὴν μάχην καὶ φρονιμώτατοι εἰς τὴν σκέψιν. χαίρομεν· σὺ δ' εὖ φρόνει γε, καὶ δύ' ὄντ' εὖ πράξομεν Εὐρ. Ἴων 518 σὺ ἔσο σώφρων (λογικός: ἔλα εἰς τὸν νοῦν σου), καὶ (οὕτω) καὶ οἱ δύο μας θὰ εἴμεθα καλά, ἴδ. ὑγιαίνω. εἴθ' εὖ φρονήσαντ' εἰσίδοιμί πως φρενῶν ἐπήβολον καλῶν σε 'Απ. Σοφ. 104 κυρ. εἴθε, ἐπεὶ εὖ φρονήσειας, εἰσίδοιμί σε φρένας καλὰς κεκτημένον: εἴθε εὖ φρονήσας σωφρονοίης (κυρ. ἐγκρατὴς γένοιο φρενῶν ἀγαθῶν) καὶ μηκέτι ἀφραίνοις. Διορθώσεις πολλαί, ἐξ ὧν μνημονεύω οὐ φρονήσαντ' καὶ ἀφρονήσαντ'. ἀλλ' ἦ φρονεῖς εὖ τοῖσι νῦν ἠγγελμένοις; Αἰσχ. Χο. 770 ἀλλ' ἀληθῶς εἶσαι μὲ τὰ σωστά σου (εἰς τὰ λογικά σου· διότι τῆς εἶπε προηγουμένως νὰ ὁμιλήσῃ πρὸς τὸν Αἴγισθον γηθούσῃ φρενί) διὰ τὰ πρὸ ὀλίγου ἀγγελθέντα; (τὸν θάνατον τοῦ 'Ορέστου καὶ τοῦτο ἀναφέρ. εἰς τὸ γηθούσῃ φρενί)· πῶς ἐμπορῶ ν' ἀναγγείλω χαίρουσα τοιαύτην ἀγγελίαν; φρονεῖν γὰρ οἱ ταχεῖς οὐκ ἀσφαλεῖς Σοφ. Ο. Τ 617 οἱ ταχεῖς τὸ φρονεῖν, οἱ ταχέως κρίνοντες, δὲν εἶνε ἀσφαλεῖς (σφάλλονται). φρονοῦντα γάρ νιν (ἀντίθ. τῷ μεμηνότα) οὐκ ἂν ἐξέστην ὄκνῳ Αἴ. 82 ἂν ἦτο εἰς τὰς φρένας του, ἂν εἶχε σώας τὰς φρένας, δὲν θὰ τὸν ἀπέφευγον ἐκ φόβου· πρβ. 'Ηλ. 890. ἢ φρονεῖν κακῶς ἢ τῶν φίλων φρονοῦσα μὴ μνήμην ἔχειν 'Ηλ. 345 ἢ νὰ σκέπτεσαι κακῶς (νὰ εἶσαι ἀσύνετος καὶ νὰ τιμᾷς τὴν μνήμην τοῦ πατρός σου), ἢ σκεπτομένη καλῶς νὰ λησμονῇς τοὺς φίλους σου. Εὕρηται δὲ κάλλ. τὸ φρονεῖν = εὖ φρονεῖν Αἰσχ. Πρ. 401. Σοφ. 'Αντ. 707. Εὐρ. Μηδ. 1329. 'Αρφ. 'Ιππ. 1121. Θέογν. 625. Σιμων. 'Αμ.2. 'Ηρ.7,15. κάλλ. τὸ λεγόμενον.. ὑπ' αὐτοῦ οὐδὲ φρονῆσαι ἡμῖν ἐγγίγνεται οὐδέποτε οὐδὲν Πλ. Φαίδ. 66C κατὰ τὴν παροιμίαν ἐξ αἰτίας τοῦ σώματος οὐδὲ νὰ συλλογισθῶμεν τίποτε δυνάμεθα. πρὸς δ' ἐμὲ τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέησον Χ 59 ἐν ᾧ ἀκόμη ζῶ (κυρ. ἐν ᾧ ἀκόμη εἶμαι εἰς τὰς φρένας μου). θανόντι δ' οὐ φρονοῦντι δειλαία χάρις ἐπέμπετο Αἰσχ. Χο. 515 τὰ δῶρα ὡς πτωχική τις χάρις ἐπέμποντο εἰς τὸν ἀποθανόντα, ὡς μὴ παρατηροῦντα τοῦτο. 'Απολύτ. πατὴρ δέ.. μυθεῖτ' εἰς ἀγαθὰ φρονέων νοέοντι καὶ αὐτῷ Ψ 305 ὁ δὲ πατήρ του νοήμων ὢν ἔδιδε

πρὸς αὐτὸν ἐπίσης νοήμονα ὄντα καλὰς συμβουλὰς (κυρ. ὡμίλει διὰ τὸ καλόν του). ἀλλά, φίλος, φρονέων, πεφυλαγμένος εἶναι Ψ 343 ἀλλ', ὦ φίλε, νὰ εἶσαι φρόνιμος καὶ (κυρ. φρόνιμος ὢν) προσεκτικός. εἰ φρονέοντα τὴν ἀληθείην εὑρεθείη Ἡρ. 1,46 = εἰ (τὰ μαντεῖα) εὑρεθείη εἰδότα τὴν ἀλήθειαν. πάνυ γὰρ ἐμέ γε πόθος ὅ τι φρονεῖς ἔχει Ἀρφ. Ἀχ. 362 ἐνν. μαθεῖν «ἵνα ᾖ: πάνυ γὰρ πόθος ἐμὲ ἔχει μαθεῖν ὅ τι φρονεῖς» Σχ. Πρβ. Εὐρ. Ἴων. 572. φρονέω δὲ τετιμῆσθαι Διὸς αἴσῃ Ι 608 μοῦ φαίνεται (εἰρωνικῶς), ὅτι ἔχω τιμηθῇ διὰ τῆς ὑπὸ τοῦ Διὸς ὁριζομένης μοίρας (διὰ τῆς βουλῆς τοῦ Διός, δι' ἧς περιῆλθον εἰς στενοχωρίαν οἱ Ἀχαιοί). φρόνεον δὲ μάλιστα ἄστυ πότι σφέτερον ἐρύειν καὶ κῦδος ἀρέσθαι Ρ 286 διενοοῦντο (ἐσκόπευον) δὲ μάλιστα νὰ σύρωσιν αὐτὸν πρὸς τὴν πόλιν των καὶ νὰ λάβωσι δόξαν. σὺ δὲ φρόνει (= μέμνησο) μὲν ὡς ταρβοῦσα μὴ ἀμελεῖν θεῶν Αἰσχ. Ἱκ. 781 ἕνεκα τοῦ τρόμου σου πρόσεχε νὰ μὴ καταλίπῃς τὸν βωμὸν τῶν θεῶν. δημοκρατίαν γε καὶ ἐγιγνώσκομεν οἱ φρονοῦντές τι, καὶ αὐτὸς οὐδενὸς ἂν χεῖρον, ὅσῳ καὶ λοιδορήσαιμι Θουκ. 6, 89, ἴδ. λοιδορῶ. τῇδε μὲν οὖν ἰότητι Τύχης πεφρόνηκεν ἅπαντα Ἀπ. Ἐμπεδ. 103 οὕτω μὲν λοιπὸν πάντα τὰ ὄντα διὰ τῆς βουλήσεως τῆς τύχης ἔχουν ἀποκτήσῃ νοῦν (συνείδησιν). οὐκ ἂν γένοιτο νοῦς κακὸς καλῶς φρονῶν Σοφ. Ο. Τ. 600 νοῦς κακὸς (δυσμένεια, κακοτροπία, κακὸς χαρακτὴρ) οὐκ ἂν γένοιτο καλῶς φρονῶν, ἤτοι: ὁ κακὸς χαρακτὴρ καὶ τὸ καλῶς φρονεῖν (τὸ ἐννοεῖν καλῶς τὰ συμφέροντα) δὲν συμβιβάζονται. Ἄλλοι ἐννοοῦσι καὶ συντάσσουσιν ὧδε: νοῦς καλῶς φρονῶν οὐκ ἂν γένοιτο κακός. κέρδιστον εὖ φρονοῦντα μὴ φρονεῖν δοκεῖν Αἰσχ. Πρ. 401 ὠφελιμώτατον («ἄμεινον» Σχ., ὅθεν κέρδιον Wecklein) εἶνε εὖ φρονῶν τις νὰ φαίνεται εἰς τοὺς ἄλλους ἄφρων. φρονεῖν ὡς δεινόν, ἔνθα μὴ τέλη λύῃ φρονοῦντι Σοφ. Ο. Τ. 316 πόσον φοβερὸν πρᾶγμα εἶνε νὰ γνωρίζῃ τις (νὰ εἶνέ τις σοφός) ἐκεῖ, ὅπου δὲν ὠφελεῖ ἡ γνῶσις, ἡ σοφία (κυρ. ἂν γνωρίζει τις). ἐν τῷ φρονεῖν γὰρ μηδὲν ἥδιστος βίος Αἴ. 554 ἥδιστος βίος ὑπάρχει ἐν τῷ μηδὲν ἀντιλαμβάνεσθαι (αἰσθάνεσθαι) μήτε τῶν ἀγαθῶν μήτε τῶν κακῶν. ζηλῶ σὲ μᾶλλον ἢ 'μὲ τοῦ μηδὲν φρονεῖν Εὐρ. Ἰ. Α. 677 ζηλῶ σὲ μᾶλλον ἢ ἐμὲ τούτου, ὅτι οὐδὲν συνιῇς. Τὸ ἐμὲ ἀντὶ τοῦ ἐμαυτὴν ἕνεκα τῆς ἀντιθέσεως. τῇ ῥ' ἰθὺς φρονέων ἵππους ἔχε Μ 124 εἰς τοῦτο τὸ μέρος ἴσια κατεπάνω ὁρμῶν διηύθυνε τοὺς ἵππους. οἱ δ' ἰθὺς (= ἰθὺς ἰέναι) φρόνεον μάχεσθαι Ν 135. ἴσια κατεπάνω των ὥρμων, ἵνα μάχωνται = ἰθὺς μέμασαν. ἆρα φρονοῦσιν γλώσσης ἀγαθῆς ὁδὸν εὑρίσκειν (Pauw: εὑρίσκει); Αἰσχ. Εὐμ. 989 δὲν ἠξεύρουν λοιπὸν νὰ εὑρίσκωσι τὴν ὁδόν, τὴν ὁποίαν προητοίμασεν ἡ καλή μου γλῶσσα; Οὕτω μᾶλλον ἢ ὡς συνήθως: τὴν ὁδὸν τὴν ἄγουσαν εἰς τὴν καλὴν γλῶσσαν. Ὡς ὑποκείμ. ἐνν. μᾶλλον αἱ Ἐρινύες. Ἡ ἀπόκρισις εἶνε: ἠξεύρουν πολὺ καλά. Συγγενὲς νόημα ἔχει καὶ ἡ παροιμ. «ἡ καλὴ ἡ γλῶσσα βγάζει τὸ φεῖδι ἀπὸ τὴν τρύπα». φρονεῖν δ' ἐνέπει τὸ παρκείμενον Πινδ. Ν. 3, 75 διατάσσει νὰ ἔχωμεν εἰς τὸν νοῦν μας τὸ προκείμενον. εὖτέ γε παρὸν φρονῆσαι τοῦ λῴονος δαίμονος εἵλου τὸ κάκιον αἰνεῖν (Hermann: ἑλεῖν) Σοφ. Φιλ. 1100 ἀφ' οὗ, ἐν ᾧ σοὶ ἦτο εὔκολον νὰ φανῇς λογικός, προετίμησας νὰ ἐπιδοκιμάσῃς τὸ χειρότερον (τὴν χειροτέραν τύχην) ἀντὶ τῆς καλλιτέρας τύχης· ἴδ. καὶ αἱρέω. φρονεῖν καίρια Σοφ. Ἠλ. 228, ἴδε ἀκούω. τὰ γὰρ φρονέεις, ἅ τ' ἐγώ περ Δ 361 ἔχεις τὰ αὐτὰ φρονήματα, ἅπερ καὶ ἐγώ. ἶσον ἐμοὶ φρονέουσα Ο 50 κυρ. ὅμοιον ἐμοὶ φρόνημα ἔχουσα, ὅθεν: ὁμοφρονοῦσα. Ἀλλ' ἐν Ε 441 μηδὲ θεοῖσιν ἶσ' ἔθελε φρονέειν τὸ ἶσα φρονέειν = ἴσα φρονήματα ἔχειν: νὰ φαντάζεσαι ὅτι εἶσαι ἴσος μὲ τοὺς θεούς. φρονεῖν ἔοικας οὐδὲν ὧν ἐγὼ λέγω Σοφ. Ἠλ. 1048 φαίνεσαι ὅτι οὐδὲν ἀποδέχεσαι, συμμερίζεσαι, ἐξ ὅσων ἐγὼ λέγω. ἀμφὶς φρονέειν Ν 345 = διχοφρονεῖν, διχονοεῖν. οὐ μὲν γάρ τι νόου γε καὶ αὐτὴ δεύεται ἐσθλοῦ· ᾗσί τ' εὖ φρονέῃσι, καὶ ἀνδράσι νείκεα λύει η 74 οὐδόλως δὲ καὶ αὐτὴ στερεῖται συνέσεως· ὅσας γυναῖκας εὐνοεῖ, (εἰς ταύτας) καὶ εἰς τοὺς ἄνδρας ἀκόμη (καὶ ἄνδρες ἂν εἶνε) διαλύει τὰς διαφοράς των. Ἀσύνδετον ἐπεξηγητικόν. Δ.Γ. οἷσίν τ'. δόξει τις ἀμαθεῖ σοφὰ λέγων οὐκ εὖ φρονεῖν Εὐρ. Βάκ. 480, ἴδ. σοφός. οἵ τ' εὖ μὲν βάζουσι, κακῶς δ' ὄπισθεν φρονέουσιν σ 168 ὄπισθεν διάκεινται δυσμενῶς. παθὼν ἔγνως ἂν οἷά περ φρονεῖς Σοφ. Ο. Τ. 403 παθὼν ἤθελες ἐννοήσῃ, ὁποῖα εἶνε τὰ φρονήματά σου, πόσον κακὰ σκέπτεσαι. φάσκειν ἔμ' ἤδη μαντικῇ μηδὲν φρονεῖν 462 νὰ λέγῃς πλέον, ὅτι ἐγὼ δὲν ἐννοῶ τίποτε ἀπὸ μαντικήν. φρονοῦσι γὰρ κάκιον Ἑλλήνων πολὺ Εὐρ. Βάκχ. 483 διότι εἶνε πολὺ κατώτεροι τῶν Ἑλλήνων κατὰ τὴν φρόνησιν. οὐ παρδάλιος τόσσον μένος, , ὅσσον Πανθόου υἷες ἐϋμμελίαι φρονέουσιν Ρ 23 οὐ παρδάλεως τοσαύτη ἡ ὁρμή, ὅσον μέγα φρονοῦσιν (ἐπαίρονται) οἱ ἔμπειροι τοῦ ἀκοντίου υἱοὶ τοῦ Πάνθου. ὁ γὰρ στρατηγὸς εὐτυχὴς τὰ πρὸς θεῶν εἶσιν, σάφ' οἶδα, καὶ μάλ' οὐ σμικρὸν φρονῶν ἐς τὰς Ἀθήνας Εὐρ. Ἡρακλ. 386 ὁ στρατηγὸς εὐνοούμενος ὑπὸ τῶν θεῶν πορεύεται, καὶ μάλιστα ὄχι ἄνευ μεγάλου φρονήματος (ὄχι μὲ μικρὰν ὑπερηφάνειαν) ἐναντίον τῶν Ἀθηνῶν. Μόνον ἡ διόρθ. εἶσιν ἀντὶ τοῦ ἐστίν φαίνεται ἀναγκαία. Τὸ δὲ τὰ πρὸς θεῶν (ὃ μεταγράφουσιν εἰς τὸ τὰ πρόσθεν ὢν) προστατεύει τὸ παράλληλον χωρίον τῆς Ἰ. Τ. 560. Τὸ δ' ἐς τὰς Ἀθήνας ἀναφ. ἀπὸ κοινοῦ εἴς τε τὸ εἶσιν καὶ εἰς τὸ φρονῶν, σημ. δὲ κυρίως: διὰ (νὰ κυριεύσῃ) τὰς Ἀθήνας· πρβ.

934. ἤκουσα μεῖζον αὐτὸν ἢ Θήβας φρονεῖν Φοίν. 709 ἤκουσα, ὅτι φαντάζεται ὅτι εἶνε ἀνώτερος (ἰσχυρότερος) τῶν Θηβῶν. Ἀλλὰ μείζω τῆς δίκης φρονῶν πολύ Ἡρακλ. 933. Τὸ χωρίον: οὐ γὰρ ποτ' ηὔχει χεῖρας ἵξεσθαι σέθεν, ὅτ' ἐκ Μυκηνῶν πολυπόνων σὺν ἀσπίσιν (πολυπόνῳ σὺν ἀσπίδι Herm.) ἔστειχε μείζω (μεῖζον Cobet) τῆς δίκης φρονῶν πολύ (πόλιν Jacobs) πέρσων Ἀθάνας διότι οὐδέποτε ἐφαντάζετο, ὅτι θὰ περιπέσῃ εἰς χεῖράς σου, ὅτε ἐκ τῶν Μυκηνῶν μετα ἐμπειροπολέμων ἀσπιδοφόρων ἐπορεύετο, ὑπερηφανευόμενος περισσότερον παρ' ὅσον ἦτο δίκαιον, ἵνα κυριεύσῃ τὰς Ἀθήνας. Πρὸς τὸ πολυπόνων πρβ. Σοφ. Αἴ. 1112. Ἐν Ἡρ. Μ. 775 ὁ χρυσός... φρονεῖν βροτοὺς ἐξάγεται ἡ ὀρθὴ γρ. εἶνε φρενῶν, ἣν εὗρε ὁ Df· ἴδε ἐξάγω. πρβ. ἐπτέρωταί τ' ἐπὶ τὸ δεῖπνον ἅμα καὶ μεγάλα (μέγα τι Blaydes) δὴ φρονεῖ Ἀρφ. Ἀχ. 988 μάλα τε σπουδάζει περὶ τὸ δεῖπνον (Δικαιόπολις) καὶ μεγάλα δὴ φρονήματα ἔχει (ὡς ἐν εὐπαθείαις ἐσόμενος). Πρὸς τὸν πληθ. ὁ v Leeuwen παραβάλλει Βατρ. 835 μὴ μεγάλα λίαν λέγε. ὁ δ' οὐκ ἔλασσον Ἄρεος εἰς μάχην φρονῶν Εὐρ. Φοίν. 1135 ὁ δὲ (Καπανεύς) ἔχων μένος πολεμικὸν ὄχι κατώτερον τοῦ Ἄρεως. καλὸν φρονεῖν τὸν θνητὸν ἀνθρώποις ἴσα Ἀπ. Σοφ. 321= θνητὰ φρονεῖν χρὴ θνητὴν φύσιν Ἀπ. Σοφ. 531. ὁ κόμπος δ' οὐ κατ' ἄνθρωπον φρονεῖ Αἰσχ. Ἑπτ. 412 ἀλλ' ὁ κομπασμός του ἔχει φρόνημα ὑπεράνθρωπον. νέα ἐφ' ἡμέρῃ φρονέοντες Ἀπ. Δημοκρ. 158 (παρὰ Πλουτ. 722 D) νέα σχέδια συλλαμβάνοντες διὰ τὴν ἡμέραν. τὸ γὰρ βρότειον σπέρμ' ἐφ' ἡμέραν φρονεῖ Ἀπ. Αἰσχ. 399 ἐφήμερα φρονήματα ἔχει. εἰ γὰρ τύχοιεν ὧν φρονοῦσι πρὸς θεῶν Αἰσχ. Ἑπτ. 537 «εἴθε τύχοιεν παρὰ τῶν θεῶν ὧν καθ' ἡμῶν φρονοῦσι, τ. ἔ. ἅπερ ἡμῖν ἀπειλοῦσιν» Σχ. σοὶ μὲν δοκεῖν ταῦτ' ἔστ', ἐμοὶ δ' ἄγαν φρονεῖν Σοφ. Αἴ. 942 σὺ μὲν δύνασαι νὰ ἐννοῇς, νὰ φαντάζεσαι ταῦτα, ἐγὼ δὲ βαθέως νὰ τὰ αἰσθάνωμαι. ὅσωπερ (ἐνν. πλεῖστον) καὶ φρονεῖν οἶδεν μόνη Τρ. 313 καθ' ὅσον ἀκριβῶς μόνη αὐτὴ συναισθάνεται τὴν θέσιν της θανόντι δ', οὐ φρονοῦντι, δειλαία χάρις ἐπέμπετ' (οὐκ ἔχοιμ' ἂν εἰκάσαι τόδε) τὰ δῶρα Αἰσχ. Χο. 515 τὰ δῶρα ἐπέμποντο εἰς τὸν ἀποθανόντα, ὡς μὴ παρατηροῦντα τοῦτο (αἰσθανόμενον), ὡς πτωχικὴ (εὐτελής) τις χάρις (δὲν δύναμαι νὰ τὸ ἐξηγήσω). τὸ παντότολμον φρονεῖν μετέγνω Αἰσχ. Ἀγ. 231, ἴδ. μεταγιγνώσκω. θνητοῦ πέφυκας πατρός, Ἠλέκτρα, φρόνει Σοφ. Ἠλ. 1171 ἔχε το κατὰ νοῦν, συλλογίζου το. ὄπιδα φρονέοντες ξ 82 συλλογιζόμενοι τὴν θείαν δίκην. τοῦτο φρονεῖ ὑμῶν ἡ ἐς τοὺς ὀλίγους ἀγωγή Θουκ. 5, 85 ἴδ. ἀγωγή. μισῶ γὰρ ὄντως, οἵτινες φρονοῦσι μέν, φρονοῦσι δ' οὐδενός γε χρημάτων ὕπερ Ἀπ. Εὐρ. 248, ἴδ. φθονέω.

φρόνημα *τό*: ἐμπέδοις φρονήμασιν Σοφ. Ἀντ. 169 μὲ σταθερὰν γνώμην, πίστιν. καὶ φθέγμα καὶ ἀνεμόεν φρόνημα... ἐδιδάξατο 353, ἴδε διδάσκω. αἱμύλας μηχανὰς ἀτιμάσαντες καρτεροῖς φρονήμασιν Αἰσχ. Πρ. 223, ἴδ. καρτερός. πάραυτα δ' (παρ' αὖ τάδ' Wieseler) ἐλθεῖν ἐς Ἰλίου πόλιν λέγοιμ' ἂν φρόνημα μὲν νηνέμου γαλάνας Ἀγ. 738 ὁμοίως δὲ ἤθελον εἴπῃ, ὅτι ἦλθεν εἰς τὴν πόλιν τοῦ Ἰλίου τὸ πνεῦμα τῆς νηνέμου γαλήνης (ἡ προσωποποίησις τῆς ἄκρας ἡσυχίας) καὶ εἰρήνης. ἐν φρονήματι ὄντες τῆς Πελοποννήσου ἡγήσεσθαι Θουκ. 5, 40 πλήρεις πεποιθήσεως, ὅτι θὰ γίνωσιν ἡγεμόνες τῆς Πελοποννήσου. σεμνόστομός γε καὶ φρονήματος πλέως ὁ μῦθός ἐστιν Αἰσχ. Πρ. 985 ὅστις μεταχειρίζεται αὐτὸ ὄχι ὡς = φρένες, ἀλλ' ὡς= λόγος φρονήματος πλέως. ἰὸς ἐκ φρονημάτων πέδοι πεσών Εὐμ. 481, ἴδ. ἰός. Συνήθως παρὰ Θουκ. (1, 81. 2, 43. 61 κτλ.) δηλοῖ τὴν εἰς ἑαυτὸν πεποίθησιν, «την αὐτοπεποίθησιν» (ὡς γράφουσι σήμερον). ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν ψυχήν τε καὶ φρόνημα καὶ γνώμην, πρὶν ἂν κέ. Σοφ. Ἀντ. 176 εἶνε δὲ δύσκολον νὰ ἐννοήσῃ τις καλῶς παντὸς ἀνδρὸς τὰ αἰσθήματα καὶ τὰ διανοήματα καὶ τὰς ἠθικὰς ἀρχὰς (τὰ φρονήματα), πρὶν κτλ. Παρὰ Θουκ. 2, 62: ἰέναι δὲ τοῖς ἐχθροῖς ὁμόσε (= συμπλέκεσθαι τοῖς ἐχθροῖς) μὴ φρονήματι μόνον, ἀλλὰ καὶ καταφρονήματι τὸ μὲν φρόνημα σημαίνει τὸ ἄλογον, τὸ ἐξ ἀμαθείας προερχόμενον θάρρος, ἀλαζονείαν ἄλογον· τὸ δὲ καταφρόνημα τὸ ἔλλογον θάρρος, τὸ στηριζόμενον εἰς τὴν συνείδησιν τῆς ἐπὶ τῶν ἄλλων ὑπεροχῆς. δουλοῖ φρόνημα τὸ αἰφνίδιον καὶ ἀπροσδόκητον Θουκ. 2, 61, ἴδε δουλόω. λιμόν τ' (εἶδον) ἐν ἀνδρὸς πλουσίου φρονήματι, γνώμην δὲ μεγάλην ἐν πένητι σώματι Εὐρ. Ἠλ. 371 εἶδον ἐν φρονήματι (ἐν τῇ καρδίᾳ) πλουσίου ἀνδρὸς (ἐνοικοῦσαν) τὴν ἔνδειαν (τὴν ἐλεεινότητα, κυρ. τὴν πεῖναν), μεγάλην δὲ γνώμην (μεγαλοψυχίαν) ἐν σώματι πένητος ἀνδρός. τῶν ἀδίκων παραιρῶν φρονήματος Ἡρακλ. 909, ἴδε παραιρῶ.

φρόνιμος 2: καὶ νῦν φρόνιμος νέον ἄλγος ἔχει Σοφ. Αἴ. 259 καὶ νῦν ἐλθὼν εἰς τὰς φρένας του ἔχει (αἰσθάνεται) νέαν λύπην.

φροντίζω: οἱ Ἕλληνες ἐφρόντιζον Ξεν. Ἀν. 2, 3, 25 ἦσαν ἀνήσυχοι. φροντίζεθ' ὡς τούτοις τε καὶ σοφωτέροις ἄλλοισι τούτων πλείοσι μαχούμενοι Σοφ. Ἠλ. 1370 σκέπτεσθε (λαμβάνετε τὰ μέτρα σας) ὡς (ἄνθρωποι) μέλλοντες νὰ πολεμήσετε καὶ μὲ τούτους (τοὺς δορυφόρους τοῦ Αἰγίσθου) καὶ μὲ ἄλλους πανουργοτέρους πλειοτέρους τουτων (ἐνν. τὸν Αἴγισθον αὐτὸν καὶ μάλιστα τὴν Κλυταιμνήστραν καὶ τὰς περὶ αὐτὴν γυναῖκας). δεινά τοι λέγεις ἰόντων (κιόντων Weckl.) τοῖς τεκοῦσι φροντίσαι Αἰσχ. Πέρ. 248, ἴδ. τίκτω οὗτος, τί σεμνὸν καὶ πεφροντικὸς βλέπεις; Εὐρ. Ἄλκ. 773

διὰ τί ἔχεις σοβαρὸν καὶ περίφροντι ἦθος (βλέμμα); Μεσ. τὰ δ' ἐνθάδ' ἡμεῖς οἷα (ἔσται) φροντιούμεθα Εὐρ. Ἰ.Τ. 343 τὰ δ' ἐνταῦθα, ὁποῖα θὰ εἶνε, ἡμεῖς θὰ φροντίσωμεν μόνοι μας (ἀναμεταξύ μας) αἰσθάνομαι γὰρ αὐτὸν οὐκ ἐπιβουλευόμενον, ἀλλὰ φροντιζόμενον μή τι πάθῃ Ξεν. Ἱέρ 7, 10 αἰσθάνομαι γάρ, ὅτι οὗτος οὐκ ἐπιβουλεύεται, ἀλλὰ φροντίζεται (τ. ἔ. οἱ ἄλλοι φροντίζουσι περὶ αὐτοῦ), μή τι πάθῃ.

φροντίς-ίδος ἡ: τῶν δ' ἕκαστος ὀρούει τυχών κεν ἁρπαλέαν σχέθοι φροντίδα τὰν πὰρ ποδός Πίνδ. Π 10,62 ἕκαστος τυχών, ὧν ἐπιθυμεῖ, κατέχοι ἂν ταχέως καὶ ἀσφαλῶς τοῦτο, περὶ οὗ αὐτίκα φροντίζει. μίαν με μεῖναι τήνδ' ἔασον ἡμέραν καὶ ξυμπερᾶναι φροντίδ' ᾗ φευξούμεθα Εὐρ. Μήδ. 341 καὶ συμπαρασκευάσαι τὰ τῆς φυγῆς ἐφόδια (κυρ. τὰ μέσα, δι' ὧν θὰ φύγωμεν· ὅθεν ὀρθῶς ἔχει ἡ παραδεδομένη γρ. ᾗ). τοὐμοῦ γὰρ οὔ μοι φροντίς, εἰ φευξούμεθα Αὐτ. 346 διότι περὶ ἐμαυτῆς (κυρ. «γιὰ τὸ δικό μου τὸ μέρος») δὲν φροντίζω, ἐὰν θὰ φύγωμεν. ἐβουκολοῦμεν φροντίσιν νέον πάθος Αἰσχ. Ἀγ. 674, ἴδε βουκολέω. ἕως τις ἀντὶ παρθένου γυνὴ κληθῇ λάβῃ τ' ἐν νυκτὶ φροντίδων μέρος Σοφ. Τρ. 149 ἕως οὗ . . ἀναλάβῃ τὸ προσῆκον αὐτῇ μέρος τῶν νυκτερινῶν φροντίδων (περὶ τῶν τέκνων μάλιστα). εἰς φροντίδας νοῦν συμφοράς τ' ἐβαλλόμην Εὐρ. Ἀπ. 964 ἴδε βάλλω. ἄλλως φροντίδων βουλεύματα γλώσσης τε κόμποι Ἐκ. 626 «μάτην εἰσὶ τὰ βουλεύματα (κυρ. τῶν λογισμῶν τὰ βουλεύματα) καὶ τὰ τῆς γλώττης καυχήματα» Σχ. εὔφημος φροντίς Σοφ. Ο.Κ. 132, ἴδ. στόμα. νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ Εὐρ. Μήδ. 48 ἡ φρὴν τῶν νέων δὲν συνηθίζει νὰ λυπῆται.

φροῦδος 3 καὶ 2 (συνηρ. ἀπὸ τοῦ πρὸ ὁδοῦ Δ 382, ὡς φροίμιον ἀπὸ τοῦ προοίμιον) κυρ. ὁ προχωρήσας ἐν τῇ ὁδῷ, ποῦ ἔφυγεν ἐμπρός, ἄφαντος· φροῦδος αὐτὸς εἶ θανών Σοφ Ἠλ. 1152 σὺ αὐτὸς ἀποθανὼν (διὰ τοῦ θανάτου σου) εἶ φροῦδος (= βέβηκας, ᾤχου ἀπιών). φρούδη μὲν αὐδή, φροῦδα δ' ἄρθρα μου κάτω Εὐρ. Ἀνδρ. 1078 ἐχάθη ἡ φωνή μου, οἱ δὲ πόδες μου ὑποκάτω ἐκόπησαν· ἐξέλιπε πᾶσα δύναμις. τὰ ἐν δόμοις δαπάναισι φροῦδα Εὐρ. Ἡρ. Μ. 592, ἴδ. δαπάνη φροῦδος μέν . . . κυμάτων ἅπας βυθὸς Ἀπ. Σοφ. 1027 ἅπας ὁ βυθὸς (τῆς θαλάσσης) θὰ μείνῃ ἄνευ κυμάτων. εἰς τοῦτο γὰρ δὴ φροῦδός εἰμι πᾶς (γῆ Δ. Βερν.) ἐγὼ Εὐρ. Μήδ. 722 διότι ὡς πρὸς τοῦτο (δηλ. τὴν παιδοποιΐαν) εἶμαι παντελῶς ἐγὼ ἠφανισμένος· δηλ. ἂν δὲν ἀποκτήσω τέκνα, καταστρέφεται τὸ γένος μου. Οὕτω περίπου καὶ ὁ Σχ. «κατὰ γὰρ τοῦτο τὸ μέρος τῆς παιδοποιΐας ἔρημός εἰμι». Ἡ πρώτη χρῆσις τῆς λέξεως ἐν τῇ τραγῳδίᾳ καὶ ἐκ ταύτης ἐν τῷ πεζῷ λόγῳ. φροῦδος ἐς Ἅιδην θάνατος προφέρων σώματα τέκνων Αὐτ. 1110, ἴδε κυρέω.

φρουρά, Ἰων. φρουρή, ἡ: οὐδέ μ' ὄμματος φρουρὰν παρῆλθε τόνδε μὴ λεύσσειν στόλον Σοφ. Τρ. 226 οὐδὲ διέφυγε τὸ ἄγρυπνον ὄμμα μου τὸ θέαμα τῆς πομπῆς ταύτης. ἐπὶ φρουρᾶς Ξεν. Πολ. Λακ. 13,1 καὶ 11 Λακωνικὴ ἡ φράσις ἀντὶ τοῦ ἐπὶ στρατείας· περὶ τοῦ φαίνειν φρουράν ἴδε φαίνω. τὸ δ' ἐξάγω φρουράν Ξεν. Ἑλλ. 2, 4, 29 ἐπίσης λέγεται περὶ τῶν Λακεδ., κυρ. = φήνας φρουρὰν ἐξάγω αὐτήν (εἰς στρατεῖαν).

φρουρέω: τὸ σὸν μελέσθω (= μελέτω) βάντι φρουρῆσαι χρέος Σοφ. Ἠλ. 74 φρόντισε, ἀφ' οὗ ἀπέλθῃς, νὰ ἐκτελέσῃς ὡς φρουρὸς τὸ χρέος σου. νῦν δ' ἐπὶ τῇδ' αὖ χέρα τοξήρη φρουρεῖς ὁπλίσας Εὐρ. Ἄλκ. 35 νῦν δ' αὖ (κατ' ἀναφ. εἰς τὸν πρῶτον αὐτοῦ δόλον εἰς τὰς Μοίρας, στ. 12) φρουρεῖς ἐπὶ τῇδε (δι' αὐτὴν ἐδῶ: ἵνα τὴν προστατεύσῃς) ὁπλίσας χεῖρα τοξήρη (κατηγορ.: ὥστε εἶναι τοξήρη). ἐν παντὶ γάρ τοι σκορπίος φρουρεῖ λίθῳ Ἀπ. Σοφ. 34, ὅθεν καὶ ἡ παρ. «ὑπὸ παντὶ λίθῳ σκορπίος» (καθεύδει) Ζηνόβ. 6, 20. πρβ. Αἰλ. π. Ζ. 15, 26. στόμα εὔφημον φρουρεῖτε Εὐρ. Ἴων. 98, ἴδε ἀποφαίνω. Καὶ μετ' ἀπρφ. ἐν Ἰκ. 900: πολλοὺς δ' ἐραστὰς κἀπὸ θηλειῶν ὅσας ἔχων, ἐφρούρει μηδὲν ἐξαμαρτάνειν ὅπου γρ. ἴσας μετὰ τοῦ Canter: ἔχων δὲ πολλοὺς ἐραστὰς καὶ ἴσας (ἤτοι: ἄλλας τοσαύτας ἐρώσας) ἐκ τῶν γυναικῶν ἐφρούρει ἑαυτόν, ὥστε μηδὲν ἐξαμαρτάνειν: ἐπρόσεχε ὥστε νὰ μὴ ὑποπέσῃ εἰς κανὲν σφάλμα ἐρωτικόν. δέκα ἄρχοντας καταστήσας [φρουρεῖν], ἀφῆκε τὸ τῶν συμμάχων ναυτικὸν κατὰ πόλεις Ξεν. Ἑλλ. 2, 3, 7 ἀφ' οὗ διώρισε δέκα ἄρχοντας (ἵνα φρουρῶσι, χρησιμεύωσιν ὡς φρουρά· γνωσταὶ δ' αἱ κατὰ τοὺς χρόνους τούτους Σπαρτιατ. φρουραὶ καὶ οἱ ἁρμοσταί), ἀπέλυσε τὸ ἐκ τῶν συμμαχίδων πόλεων ναυτικὸν εἰς τὰς (διαφόρους) πόλεις Τὸ φρουρεῖν ἐξαλείφεται ὡς παρεγγεγραμμένον ὑπό τινος, θέλοντος νὰ ἑρμηνεύσῃ τὸ δέκα ἄρχοντας, περὶ ὧν ἴδε 3,4, 2. καί σε τῆσδε τῆς ὁδοῦ ἄμεινον ἢ 'μὲ φρουρήσας τύχοι Σοφ. Ο. Τ. 1479, ἴδ. ὁδός. τὸ φρουρεῖν ἐπὶ σῷ μάλιστα καιρῷ Φιλ. 151, ἴδ. μέλω. εὐνὴ γὰρ ἀνδρὶ καὶ γυναικὶ μόρσιμος ὅρκου 'στὶ μείζων τῇ δίκῃ φρουρουμένη Αἰσχ. Εὐμ. 217 διὰ τὸν ἄνδρα καὶ τὴν γυναῖκα ἡ γαμήλιος κοίτη (ἡ συζυγία), ὑπὸ τῆς μοίρας διωρισμένη, εἶνε σπουδαιοτέρα τοῦ ὅρκου, διότι ἐποπτεύει αὐτὴν ἡ δίκη. φρουρουμένου βέλεμνα παιδὸς Εὐρ. Ἀνδρ. 1135 φυλαττομένου τοῦ παιδὸς ἀπὸ τὰ βέλη. πλέον φρουρήσομαι ψήφοισιν Ἴων 603 πλέον ὑπόπτως θὰ φυλάττωμαι (παθ. θά με φυλάττουν) διὰ τῶν ψήφων των (κατὰ τὰς ἀρχαιρεσίας, ἴσως δὲ ἐνν. καὶ τὸν ὀστρακισμόν), ἤτοι: δὲν θά με ἀφίνουν, διὰ τῶν ψήφων των, νὰ προχωρῶ εἰς τὰ πράγματα, ὅσον θέλω· ἴδε λόγιος.

φρούρημα τό, τὸ φρουρούμενον· πρός τε ποίμνας ἐκτρέπω σύμμεικτά τε λείας ἄδαστα βουκόλων φρουρήματα Σοφ. Αἴ. 54 καὶ ἐκτρέπω αὐτὸν πρὸς τὰ ποί-

μνια (τῶν μικρῶν ζώων) καὶ πρὸς τὰ ἀνάμεικτα ὑπὸ τῶν βουκόλων φρουρούμενα (τὰ βουκόλια) ἀμοίραστα (μεγάλα ζῷα) ἐκ τῆς λείας (ἀνήκοντα εἰς τὴν λείαν) ἴδ. ἄδαστος. (τοῦτο βουλευτήριον) εὐδόντων ὕπερ ἐγρηγορὸς φρούρημα γῆς καθίσταμαι Αἰσχ. Εὐμ. 708 τὸ βουλευτήριον τοῦτο καθιδρύω ὡς ἄγρυπνον φρουρὸν τῆς γῆς (ταύτης) ὑπὲρ τῶν κοιμωμένων πολιτῶν («ὑπὲρ τῶν ἀποθανόντων» Σχ. ὄχι ὀρθῶς). φερέγγυον φρούρημα Αἰσχ. Ἑπτ. 436 «ἱκανὸς φρουρεῖν τὴν πατρίδα».

φρούριον τό: τὰν καὶ Ζεὺς ὁ παγκρατὴς Ἄρης τε φρούριον θεῶν νέμει Αἰσχ. Εὐμ. 919 τὴν ὁποίαν (πόλιν) καὶ ὁ Ζεὺς καὶ ὁ Ἄρης ὡς φρούριον (ἀκρόπολιν) τῶν θεῶν κατοικεῖ. πόλεως φρούριον 950 = φρουροὶ τῆς πόλεως (Ἀρεοπαγῖται). τοιοῦτο μέν σοι τοῦτο φρούριον λέγω Πρ. 827 = τοιοῦτόν ἐστι τὸ φρούριον τοῦτο ὃ σοι λέγω· ὅθεν: τοιοῦτος εἶνε ὁ τόπος οὗτος (ἐν ᾧ αἱ Γοργόνες), ἀπὸ τοῦ ὁποίου πρέπει νὰ προφυλαχθῇς. Διὰ τοῦ οἱ φρουροῦντες ἄνδρες ἐξηγεῖ τὸ φρούριον ὁ Dindorf καὶ ἄλλοι ἄλλως.

φρυκτός 3: ὑμᾶς δᾳδὶ φρυκτοὺς σκευάσω Ἀρφ. Σφ. 1331 θὰ σᾶς κάμω «καβουρδιστοὺς» μὲ αὐτὸ ἐδῶ τὸ δᾳδί. φρυκτὸς δὲ φρυκτὸν δεῦρ' ἀπ' ἀγγάρου (Canter) ἐκ τοῦ Μ. Ἐτυμ.: ἀγγέλου) πυρὸς ἔπεμπεν Αἰσχ. Ἀγ 294 ὁ εἷς φρυκτὸς ἐξέπεμπε τὸν ἄλλον τῇ βοηθείᾳ τοῦ ταχυδρομικοῦ πυρός.

φυγαδικός 3: φυγαδικὴ προθυμία Θουκ 6, 92 εἶνε ἡ προθυμία καὶ ὁ ζῆλος, ὃν πᾶς φυγὰς ἔχει, ἵνα ἐκδικηθῇ τὴν πατρίδα του, ὠφελῶν ἐκείνους πρὸς οὓς κατέφυγε· ἴδ. τὸ χωρίον ἐν τῷ ὑποπτεύω.

φυγάς-άδος ὁ, ἡ: φυγάς εἰμι τῆς τῶν ἐξελασάντων πονηρίας καὶ οὐ τῆς ὑμετέρας ὠφελίας Θουκ. 6, 92 φεύγω τὴν πονηρίαν (τ. ἔ. ἀπήλλαγμαι τῆς πονηρίας) τῶν ἐξελασάντων καὶ οὐ τὸ ὠφελεῖν ὑμᾶς. φυγάδα πρόδρομον ὀξυτέρῳ κινήσασα χαλινῷ Σοφ. Ἀντ. 108, ἴδ. πρόδρομος.

φυγή νόσων δ' ἀμηχάνων φυγὰς ξυμπέφρασται Σοφ. Ἀντ. 364, ἴδε συμφράζομαι. φυγάς τ' ἐμαυτῷ προστιθεὶς πάτρας ἐμῆς Ἀπ. Εὐρ. 964 προστιθεὶς ἐμαυτῷ (κυρ. ἀναφέρων εἰς ἐμαυτὸν κατὰ διάνοιαν: φανταζόμενος) φυγὰς (ἐξορίαν ἀπὸ) πάτρας ἐμᾶς. Καὶ περιληπτικῶς φυγή = οἱ φυγάδες, οἱ ἐξόριστοι· κατάγειν τὴν φυγήν Ξεν. Ἑλλ. 5, 2, 9 νὰ ἐπαναφέρωσιν εἰς τὴν πατρίδα των τοὺς φυγάδας. φυγὴ ὑπὸ τῶν Ἀθηναίων Θουκ. 8, 64 «φυγάδες αὐτῶν πεφευγότες ὑπὸ τῶν Ἀθηναίων» Σχ. Αἰσχίν. 2, 143. Ἐν δὲ Πλάτ. Νόμ. 682 E ἡ ἐκ τῶν ἀρίστων χ/φων πιστουμένη γρ. εἶνε: τὸν συλλέξαντα τὰς τότε φυγάς (ἀντὶ τοῦ: τοὺς τότε φυγάδας). φυγᾷ . διώκετε φεύγετε Εὐρ. Ἡρ. Μ. 1081 ἐπισπεύδετε τὴν φυγήν. Τὸ φυγᾷ ἁρμόζει μᾶλλον εἰς τὸ φεύγετε. Συχνάκις δὲ εὕρηται τὸ φυγῇ φεύγειν περὶ τῶν πάσῃ σπουδῇ φευγόντων· ἴδ. Πλ. Συμπ. 195 B φεύγων φυγῇ τὸ γῆρας. Ὁμοίως Ἐπινομ. 974 B. Τὸ φυγῇ ἀνεχώρει Συμπ. 221 A. Ἀλλ' εὕρηται καὶ τὸ φυγὴν φεύγειν: φεύγουσι δή τινας οὐκ αἰσχρὰς φυγάς Νόμ. 706 C. φυγᾷ πόδα νωμᾶν Σοφ. Ο. Τ. 468, ἴδε νωμάω. φυγῇ σὺ μὲν κατ' οἶμον, εἰς δόμους δ' ἐγὼ φῶτας κακούργους ἐξαλύξωμεν ποδί Εὐρ Ἠλ. 218 «φεύγουσαι (=φυγῇ) σὺ μὲν (ὁ τῶν γυναικῶν χορὸς) κατ' οἶμον (= ὁδόν), ἐγὼ δ' εἰς δόμους, ἐκφύγωμεν ὡς τάχος (= ποδὶ) τοὺς κακούργους ἄνδρας» Δ. Βερν. Τὸ δὲ ποδὶ = δρόμῳ, ταχέως, πρβ. τὸ κοινόλεκτον «τὸ ἔβαλε 'ς τὰ πόδια ('ς τὸ πόδι)». καὶ στ. 96. Κατὰ ταῦτα ἑρμηνευτέον καὶ τὸ Ὀρ. 1468 φυγᾷ δὲ ποδὶ τὸ χρυσεοσάνδαλον ἴχνος ἔφερε φεύγουσα δὲ ταχέως (= ποδὶ) μετέφερε (ἠμείβετο = ἔφερε) τὸν χρυσοῦν σανδάλιον φοροῦντα πόδα (= ἴχνος). Περιττὴ ἡ διόρθωσις φυγάδι δὲ ποδί. ποῖ καί με φυγᾷ πτώσσουσι μυχῶν; Ἑκ. 1066, ἴδε πτώσσω.

φυή ἡ: οὔ ἑθέν ἐστι χερείων οὐ δέμας οὐδὲ φυήν, οὔτ' ἂρ φρένας οὔτε τι ἔργα Α 115 οὐκ ἔστι χείρων (κατωτέρα) αὐτῆς οὔτε κατὰ τὸ σῶμα (κατὰ τὴν κατασκευὴν τοῦ σώματος, τὸ ἀνάστημα, τὴν «κορμοστασιά») καὶ τὴν ἀναδρομὴν τοῦ σώματος («τὴν τοῦ σώματος εὐφυΐαν καὶ ἀρετήν» Σχ κατὰ τὴν ἀναλογίαν τῶν μελῶν), οὔτε κατὰ τὰς φρένας (τὴν φρόνησιν) καὶ τὰ ἔργα περιδρόμῳ μὲν ἴτυος ἕδρᾳ Περσέα λαιμότομον ὑπὲρ ἁλὸς ποτανοῖσι πεδίλοισι φυὰν Γοργόνος ἴσχειν Εὐρ. Ἠλ. 461 ἐν μὲν τῇ περιθεούσῃ τὴν ἴτυν τῆς ἀσπίδος ἕδρᾳ (ἐν ᾗ ἦσαν τὰ Ἡφαιστότευκτα σήματα) ὁ Περσεὺς τοῖς πτηνοῖς πεδίλοις ὑπὲρ τῆς θαλάσσης (ὤν, ἢ πετόμενος) κατεῖχεν (ἐκράτει) τὴν λαιμότμητον κεφαλὴν (κυρ. μορφὴν) τῆς Γοργόνος· τὸ ἴσχειν κατὰ παράθεσιν εἰς τὸ τετύχθαι, τὸ ἐξαρτώμενον ἐκ τοῦ ἔκλυον. τὸ δὲ φυᾷ κράτιστον ἅπαν Πινδ. Ὀ. 9, 100 πᾶν τὸ ἐκ φύσεως (προσὸν ἀγαθὸν) κράτιστόν ἐστι. φυᾷ τὸ γενναῖον ἐπιπρέπει Π. 8, 44, ἴδ. ἐπιπρέπω. μάρνασθαι φυᾷ Ν. 1, 26, ἴδ. μάρναμαι.

φυλακή ἡ: στόματός τε καλλιπρῴρου φυλακὰν κατασχεῖν φθόγγον ἀραῖον οἴκοις βίᾳ χαλινῶν τ' ἀναύδῳ μένει Αἰσχ. Ἀγ. 245 καὶ φυλάξαντας κατασχεῖν τὸ κάλλιστον (κυρ. καλλιπρόσωπον) στόμα, ἵνα μὴ πρόηται φθόγγον ἀραῖον οἴκοις (κατὰ λέξ φυλάξαντας κατασχεῖν τὸν ἐκ τοῦ καλλιπρῴρου στόματος φθόγγον ἀραῖον οἴκοις), «τῇ βίᾳ καὶ τῷ ἀναύδῳ μένει τῶν χαλινῶν τῶν μὴ ἐώντων αὐτὴν λαλεῖν» Σχ. ἀεὶ γὰρ τὰ πολλὰ Λακεδαιμονίοις πρὸς τοὺς Εἵλωτας τῆς φυλακῆς πέρι μάλιστα καθειστήκει Θουκ. 4, 80, ἴδε καθίστημι ἐν τέλει. τὴν χιονώδη Θρῄκην κατέχει ξείνου πατρῴου φυλακαῖσιν Εὐρ. Ἑκ. 82 κατοικεῖ τὴν χιονώδη Θρᾴκην φυλαττόμενος ὑπὸ τοῦ πατρῴου ξένου. φυλακαὶ ἡμῶν κρείσσονες κατ' ἐξόδους Ἡρ. Μ. 83 εἰς

τὰς ἐξόδους ὑπάρχουσι φύλακες ἰσχυρότεροι ἡμῶν. ὁ δὲ τὰ κατὰ τὸ στρατόπεδον διὰ φυλακῆς μᾶλλον ἤδη ἔχων ἢ δι' ἑκουσίων κινδύνων ἐπεμελεῖτο Θουκ. 7,8= ἐπεμελεῖτο τῶν κατὰ τὸ στρατόπεδον, ἐν ᾧ ἐφυλάττετο μᾶλλον (ἠμύνετο) ἢ ἐξετίθετο εἰς ἑκουσίους κινδύνους (ἢ ἐπετίθετο). ὅπως ναυμαχίας ἀποπειράσωσι πρὸς τὴν ἐν τῇ Ναυπάκτῳ φυλακήν 7, 17 ὅπως δοκιμάσωσι ναυμαχίαν πρὸς τὰς ἐν τῇ Ναυπάκτῳ φυλαττούσας ναῦς.

φύλαξ **-κος** ὁ καὶ ἡ: φύλαξ ἔβην τῇ σῇ πρόθυμος εἰς ὁδὸν κυναγίᾳ Σοφ. Αἴ. 36, ἴδε πρόθυμος.

φύλαξις ἡ: ἔχει (=οὗτος παρέχει) δισσὰς φυλάξεις Εὐρ. Ἑλ. 506=δισσῶς φυλάξομαι αὐτόν.

φυλάσσω, Ἀττ. -ττω (ῥ. φυλακ-, πρβ. φυλακή), ὁμαλόν, -άξω, ἐφύλαξα, πεφύλαχα (-άκα παλ. Δ. καὶ Ὑπόθ. Εὐρ Μηδ. 26 Ξεν. Κ.Π. 8,6,3 ἡ γρ. τῶν κωδ. διαπεφυλάκασι ἢ διαπεφύκασι μετεβλήθη ὑπὸ τοῦ Hug εἰς διαπεφυλάχασι). Μέσ. προφυλάττομαι, -άξομαι, ἐφυλαξάμην. Πεφύλαγμαι ὡς ἐνεργ. νηὸν δ' εὖ πεφύλαχθε (ἐκ διορθ. Schneidew.) Ὕμν. Ἀπόλλ. 360 ἀντὶ τοῦ νηὸν δὲ προφύλαχθε (ὅπερ κατὰ Βουττμ. εἶνε συγκεκομμένος ἐνεστώς, πρβ φέρτε, ἄνωχθε, ὁ δὲ Πανταζίδης παραβάλλει τὰ τῆς καθομιλουμ. «φυλάχτε, πλέχτε» ἀντί: «φυλάγετε, πλέκετε»). Παθ. ἐφυλάχθην Δημ. 21,3, δι- Ξεν. Κ. Π. 8,1, 2 Μέλλ. συντελ. φυλαχθήσομαι μτγν. μέλλ. ἐνεστ. φυλάξομαι Σοφ. Φιλ. 48. Ξεν. Οἰκ 4, 9. φυλακτέον. ἀνίη καὶ τὸ φυλάσσειν πάννυχον ἐγρήσσοντα, κακῶν δ' ὑποδύσεαι ἤδη υ 52 ἀνιαρόν ἐστι («εἶνε βάσανος, βασανιστήριον») καὶ τὸ φυλάσσειν (κυρ. καὶ τοῦτο, δηλ. τὸ φυλάσσειν) δι' ὅλης τῆς νυκτὸς ἀγρυπνοῦντα, ἀπαλλαγήσῃ δὲ ἤδη τῶν κακῶν (τῶν ἐκ τῶν μνηστήρων κινδύνων). ὅς τίς σε φυλάσσει τε ῥύεταί τε ο 35 ὅστις σε φυλάττει καὶ σῴζει. βρέτας τὸ σὸν αὐτοῦ φυλάσσων Αἰσχ. Εὐμ. 243 τὸ σὸν ἄγαλμα αὐτόθι φυλάσσων, δηλ. μὴ ἀπολείπων. ἡμεῖς σε φύλακες οὗ χρεὼν φυλάσσομεν Εὐρ. Ἰ Α. 1028 ἡμεῖς παντοῦ, ὅπου εἶνε ἀνάγκη, σὲ φυλάττομεν (ἔσο ἥσυχος). μὴ ἐμέ γ' οὖν οὗτός γε λάβοι χόλος, ὃν σὺ φυλάσσεις Π 30 εἴθε νὰ μὴ καταλάβῃ ποτὲ ἐμὲ τοὐλάχιστον («νὰ μή με πιάσῃ») ὁ ἄγριος θυμός, τὸν ὁποῖον σὺ φυλάττεις. Ὁ Πανταζίδης πρβ. τὰ τῆς συνηθείας «σοῦ τὸ φυλάγω, τοῦ τὸ φύλαξε», ἀλλὰ λέγεται καί: «τοῦ φυλάγει καράζι» (Τουρκ.). Ὅμοιόν τι καὶ τὸ ἐφεξῆς. ὅσος παρ' ὑμῖν ὁ φθόνος φυλάσσεται Σοφ.Ο. Τ. 382 κυρ. ὅσος ἐστὶν ὁ φθόνος, ὃς φυλάσσεται (ὡς ἰός τις) παρ' ὑμῖν. οὐ γὰρ ἀπειλὰς ὑμετέρας ἐφύλαξα Καλλιμ. Δῆλ. 203 δὲν ἔδωσα προσοχὴν εἰς τὰς ἀπειλάς σας. αἰδῶ καὶ φιλότητα τεὴν μετόπισθε φυλάσσων Ω 111 προσπαθῶν νὰ διατηρῶ ἐν τῷ μέλλοντι τὴν ἐκτίμησιν καὶ τὴν φιλίαν σου. καί σ' ἐποπτεύων πρόφρων θεὸς φυλάσσοι καιρίοισι συμφοραῖς Αἰσχ. Χο. 1061 καὶ εἴθε ὁ θεὸς ὁ ἔχων σε ὑπὸ τὴν εὐμενῆ ἐπίβλεψίν του νὰ σε διαφυλάττῃ δι' ἁρμοδιωτέρας εὐκαιρίας. ὀρθὸν μεθίει διὰ χερῶν βλάστημ' ἄνω, ἀτρέμα, φυλάσσων μή ἀναχαιτίσειέ νιν Εὐρ. Βάκχ. 1072 ἄφινε τὸν (μέγαν) κλάδον διὰ μέσου τῶν χειρῶν του (νὰ κατευθύνεται) ὄρθιος πρὸς τὰ ἐπάνω, ἥσυχα ἥσυχα, προσέχων (κυρ. προφυλάττων) νὰ μὴ τὸν ῥίψῃ κάτω (ὁ κλάδος, αἰφνιδίως ἀνορθούμενος, ὡς ὁ ἵππος τὸν ἀναβάτην). φυλάξαντες (=τηρήσαντες) ἔτι νύκτα Θουκ. 2, 3, ἴδε ἔτι Μέσ. ὅρα, φυλάσσου μή τις ἐν στίβῳ βροτῶν Εὐρ. Ἰ. Τ. 67 «φυλάγου νὰ μὴν εἶνε κανένας ἄνθρωπος (μέσα) 'ς τὸ δρόμο», ἐν ᾧ ὑποκαθιστῶσι φυλάσσων ἢ φύλασσε, ὃ θὰ ἐσήμαινε: «φύλαγε νὰ μὴ κτλ.» ὃ διάφορον, τοῦ μὲν μέσου δηλοῦντος: μὴ πάθῃ τι κακὸν ὁ λέγων, τοῦ δὲ ἐνεργητικοῦ: μὴ πάθῃ τι κακὸν ἄλλος τις ἢ ἄλλοι παρὰ τὸν λέγοντα. Περισσότερα ἴδε παρὰ Δ. Βερν. δισσὰ γὰρ φυλάσσεται, φίλων τε μέμψιν κεἰς θεοὺς ἁμαρτάνειν Ἀπ. Σοφ. 431 ἀπὸ δύο πράγματα προφυλάττεται, ἀπὸ τὴν μέμψιν τῶν φίλων (νὰ μὴ τὸν μέμφωνται οἱ φίλοι) καὶ ἀπὸ τὴν πρὸς τοὺς θεοὺς ἀσέβειαν. οὐ πρὸς τὸ δοκεῖν τινι ἀρχαιολογεῖν φυλαξάμενοι Θουκ. 7, 69, ἴδ. ἀρχαιολογῶ. μέλλον φυλάξασθαι χρέος Πινδ. Ὀ. 7,40, ἴδ. χρέος. τὰ μὲν λελεγμένα ἄρρητ' ἐγώ σοι κἀτελῆ φυλάξομαι Σοφ. Ἠλ. 1012, ἴδε ἀτελής. ἆρ' οὖν καὶ νόσον ὅστις δεινὸς φυλάξασθαι καὶ λαθεῖν, οὗτος δεινότατος ἐμποιῆσαι; Πλ. Πολ. 333Ε λοιπὸν καὶ ἀπὸ νόσον ὅστις εἶνε ἱκανὸς νὰ προφυλαχθῇ καὶ νὰ μὴ τὴν λάβῃ (κυρ. νὰ μὴ τὸν εὕρῃ ἡ νόσος), οὗτος εἶνε ἱκανώτατος νὰ ἐμποιήσῃ αὐτὴν εἰς ἄλλον τινά; ἐν ὅτῳ ἔτι φυλάξεταί τις αὐτὴν γνωρισθεῖσαν οὐκ ἐλλείπει Θουκ. 5,103=οὐκ ἀπολείπει τι, ὃ ἔχων τις φυλάξεται ἔτι (θὰ προφυλαχθῇ ἀπὸ αὐτὴν ἐν τῷ μέλλοντι) γνωρισθεῖσαν. ὁρῶν (Βρασίδας).. τοὺς τριηράρχους καὶ κυβερνήτας.. ἀποκνοῦντας καὶ φυλασσομένους τῶν νεῶν μὴ ξυντρίψωσι Θουκ. 4, 11 ὅτι ἐπρόσεχαν πολὺ ἀπὸ τὰ πλοῖά των, (φοβούμενοι) μήπως τὰ συντρίψουν. Ὁ Rutherford ἐξήλειψε τὰς λέξεις τῶν νεῶν μὴ ξυντρίψωσιν, νομίζων, ὅτι αἱ λέξεις αὗται προστεθεῖσαι ὑπό τινος εἰς ἐξήγησιν τοῦ ξύλων, μετετέθησαν ἐκεῖθεν μετὰ τὸ φυλασσομένους· ἐνταῦθα δὲ κειμένας οὐδείς ποτε ἐξήγησε συμφώνως πρὸς τὸ Ἀττικὸν ἰδίωμα οὐδὲ θὰ ἐξηγήσῃ. Ἀλλὰ καὶ ἂν ὑποθέσωμεν, ὅτι ἡ γενικὴ εἶνε δυσεξήγητος ἢ καὶ ἀνεξήγητος, δὲν ἕπεται ἐκ τούτου ὅτι ὀφείλομεν καὶ νὰ ὀβελίσωμεν εὐθὺς αὐτήν. Καὶ ἂν δὲ προσυποθέσωμεν, ὅτι τὸ ἁπλοῦν φυλαττομένους περιέχει ἐν ἑαυτῷ τὴν ἔννοιαν τῆς ὀχληρᾶς προσθήκης τῶν νεῶν μὴ συντρίψωσιν, δικαιοῦταί τις νὰ ἐρωτήσῃ: Ἀλλ' ἂν ὁ συγγραφεὺς ἤθελε νὰ ἐκφράσῃ ῥητῶς καὶ διὰ λέξεων ὡρισμένων τὴν ἔννοιαν τῆς προσ-

θήκης ταύτης, πῶς ἤθελε τὴν ἔκφράσῃ; Τὴν γενικὴν τῶν νεῶν ὁ μὲν Σχολ. ἑρμηνεύει ὡς μεριστικήν: «τινὰς τῶν νεῶν», ἄλλοι δέ τινες ὡς γεν. τῆς ἀναφορᾶς: «ὡς πρὸς τὰς ναῦς». Ἐγὼ δὲ προτιμῶ νὰ ἑρμηνεύσω αὐτὴν ὡς γεν. τῆς ἀπομακρύνσεως, ὡς διδάσκουσι καὶ ἄλλα τινὰ χωρία, οἷον Σοφ.Ο.Κ. 161 (ἴδ.κατ.).Ξεν.Κ. Π.2,3, 9 καὶ φυλάττεσθαί γ', ἔφη, ἅπαντα ταῦτα ἐπίσταται, ἀφ' ὧν μάλιστα δεῖ καὶ νὰ προφυλάττωνται μάλιστα ὅλα ταῦτα (τὰ ζῷα) γνωρίζουν ἀπὸ ἐκεῖνα, ἀπὸ τὰ ὁποῖα μάλιστα πρέπει νὰ προφυλάττωνται· καὶ μάλιστα τὸ ἐκ τῶν Ἑλλ. 7, 2, 10 ὥσπερ ἀπὸ φιλίου καρποῦ τοῦ ἐν τῷ πεδίῳ φυλαττομένους μὴ καταπατήσειαν ὡς ἐὰν ἐπροφυλάττοντο ἀπὸ φιλικὸν καρπὸν τὸν ἐν τῇ πεδιάδι (ἤτοι: ὡς ἐὰν ὁ ἐν τῇ πεδιάδι καρπός, ἀπὸ τὸν ὁποῖον ἐπροφυλάττοντο, ἦτο φιλικός), δηλ. νὰ μὴ τὸν καταπατήσουν. Ἐν τοῖς χωρίους τούτοις ἡ αὐτὴ γεν. ἐκφέρεται ἀναλυτικώτερον, ὡς εἰπεῖν, διὰ τῆς ἀπὸ καὶ γεν. Τὸ δὲ τελευταῖον χωρίον, ὁμοιότατον πρὸς τὸ Θουκυδίδειον, διδάσκει προσέτι, ὅτι τὸ περὶ οὗ ὁ λόγος εἶνε γνησιώτατον. τῶν, ξένε πάμμορ', εὖ φύλαξαι Σοφ.Ο.Κ. 161 ἀπὸ τούτων καλῶς προφυλάχθητι, δυστυχέστατε ξένε. Ἀντίστοιχον ἐνεργ.σύνταξιν εὑρίσκομεν ἐν Εὐρ. Ἴων. 1132 ὁ δὲ νεανίας σεμνῶς ἀτοίχους περιβολὰς σκηνωμάτων ὀρθοστάταις ἱδρύεθ', ἡλίου φλογὸς καλῶς φυλάξας, οὔτε πρὸς μέσας βολὰς ἀκτῖνος (Scaliger: ἀκτῖνας) οὔτ' αὖ πρὸς τελευτώσας βίον ὁ νεανίας ἱδρύετο σεμνῶς τὰς ἀτ. περιβολὰς τῶν σκην. ὀρθίοις στύλοις, καλῶς προφυλάξας ἀπὸ τῆς φλογὸς τοῦ ἡλίου, οὔτε ὡς πρὸς (τ. ἔ. χωρὶς ν' ἀποβλέπουν οὔτε πρὸς) τὰς μέσας βολὰς τῆς (ἡλίου) ἀκτῖνος οὔτε ὡς πρὸς τὰς δυτικὰς βολὰς (κυρ. πρὸς τὰς βολὰς τοῦ τελευτῶντος βίον ἡλίου, ἤτοι: τοῦ δυομένου ἡλίου). Τὸ οὔτε πρὸς μέσας βολάς κέ. συναπτέον τῷ φυλάξας. Διωρθώσεις πολλαί. ὃ τοῖς πλείστοις ἐργωδέστατόν ἐστιν, ὥστε φυλάξασθαι τὸ ὑπὲρ τὸν κόρον ἐμπίμπλασθαι, τοῦτο ῥᾳδίως πάνυ ἐφυλάττετο Ξεν. Ἀπ.1,3,6 πρέπει νὰ μετατεθῇ τὸ μετὰ τὸ ἐστιν κόμμα μετὰ τὸ ὥστε φυλάξασθαι ἤτοι: ὅ ἐστι τοῖς πλείστοις ἐργωδέστατον κατὰ τὸ φυλάξασθαι, τ. ἔ. τὸ ἐμπίπλασθαι, τοῦτο κέ. μαψυλάκαν γλῶσσαν πεφύλαχθαι Ἀπ. Σαπφ. 27, ἴδ. μαψυλάκας. Ἄρκτοι πεφυλαγμέναι ὠκεανοῖο Ἄρατ. 48 προφυλάττονται (κυρ. εἶνε προφυλαγμέναι) ἀπὸ τὸν ὠκεανόν, δὲν καταβυθίζονται. φυλάξομαι δὲ τάσδε μεμνῆσθαι σέθεν κεδνὰς ἐφετμὰς Αἰσχ. Ἱκ. 210 θὰ προσέχω δὲ νὰ ἐνθυμῶμαι ταύτας τὰς συνετὰς συμβουλάς σου. πεφυλαγμένος ἄνδρα ἕκαστον ὅρα, μή... φαιδρῷ προσεννέπῃ προσώπῳ Ἀπ. Σόλ. 42, ἴδ. μέλας. ἀλλά, φίλος, φρονέων πεφυλαγμένος εἶναι Ψ 343, ἴδ. φρονέω.

φυλή ἡ: φυλὴ ὁπλιτῶν Θουκ. 6, 98 ἓν ἀπόσπασμα («τάγμα» Σχ.) τῶν ὁπλιτῶν.

φυλλάς -άδος ἡ: τεμενία φυλλάς Σοφ Τρ. 754 «τέμενος πολύφυλλον» Σχ.

φυλοκρινέω ἐξετάζω [τινὰ ποίας φυλῆς εἶνε· «κυρ. τὸ τὰς φυλὰς τὰς ἐν ταῖς πόλεσι διακρίνειν» Ἀ. Β. 1, 71. εἴ γε ἡσυχάζοιεν πάντες ἢ φυλοκρινοῖεν (εἴ γε ἡσυχάζοιμεν πάντως ἢ φυλοκρινοῖμεν Hude), οἷς χρεὼν βοηθεῖν, βραχὺ ἄν τι προσκτώμενοι αὐτῇ περὶ αὐτῆς ἂν ταύτης μᾶλλον κινδυνεύοιμεν Θουκ. 6, 18 ἡ διόρθ. τοῦ Hude φαίνεται πιθανὴ καὶ ἐκ τοῦ κινδυνεύοιμεν: ἐὰν ἐξ ἅπαντος ἠθέλομεν ἡσυχάζῃ ἢ ἠθέλομεν ἐξετάζῃ τὴν καταγωγὴν ἐκείνων, τοὺς ὁποίους πρέπει νὰ βοηθῶμεν, ὀλίγον ἠθέλομεν ἐπαυξάνῃ τὴν ἀρχὴν ἡμῶν, ἢ μᾶλλον ἠθέλομεν κινδυνεύῃ περὶ αὐτῆς ταύτης (τῆς ὑπαρχούσης ἡμῖν ἀρχῆς). Ὁ πρῶτος ἄν πλεονάζει, ὡς ἐν 5,9,5.

φῦλον τό: τὸ φῦλον οὐκ ὄπωπα τῆσδ' ὁμιλίας Αἰσχ. Εὐμ. 57 τὸ εἶδος (τοῦτο) ταύτης τῆς κοινωνίας (= τοῦ ὁμίλου τούτου, «συνηθείας, συνουσίας, συστήματος» Σχ. τῆς ὁμηγύρεως) δὲν ἔχω ἴδῃ (ἀκόμη): δὲν εἶδον ἀκόμη τὸ εἶδος τῶν γυναικῶν, μὲ τὸ ὁποῖον νὰ δύναταί τις νὰ παραβάλῃ τὰς ἐνταῦθα. πρβ. οὔ ποτε φῦλον ὁμοῖον ἀθανάτων τε θεῶν χαμαὶ ἐρχομένων τ' ἀνθρώπων Ε 441 οὐδέποτε (ἐν οὐδεμιᾷ περιπτώσει) τὸ γένος τῶν ἀθαν. θεῶν καὶ τῶν ἐπὶ γῆς (κάτω) βαδιζόντων (βαινόντων) ἀνθρώπων (= τῶν ἐπιχθονίων) ὅμοιόν ἐστι.

φυξανορία ἡ ἐν Αἰσχ. Ἱκ. 8. Τὸ χωρίον: αὐτογενεῖ φυξανορίᾳ γάμον Αἰγύπτου παίδων ἀσεβῆ τ' ὀνοταζόμεναι περὶ ὧν σημειοῦται ὁ Weckl. ὅτι εἰς τὴν αἰτιολογικὴν δοτ. αὐτογενεῖ φυξανορίᾳ (φυγῇ ἀνδρῶν συγγενῶν) προστίθεται ἡ μτχ. ὀνοταζόμεναι ἐπεξηγοῦσα τὴν προηγ. αἰτίαν διὰ νέας· καὶ ὅτι ὁ τὲ ἐτέθη μετὰ τὸ ἀσεβῆ, διότι τὸ γάμον ἀσεβῆ συναποτελεῖ μίαν ῥῆσιν, ἤτοι: φεύγουσαι ἄνδρας συγγενεῖς ὀνοταζόμεναι τε γάμον ἀσεβῆ. Ἀλλὰ ταῦτα εἶνε ἱκανῶς δύσκολα, ἔτι δὲ δυσκολώτερον ἐξηγεῖται ὁ τε. Ἂν δὲ προσθέσωμεν, ὅτι τὸ σαθρὸν τοῦτο οἰκοδόμημα στηρίζεται εἰς τὴν διόρθωσιν τοῦ Bamberger αὐτογενεῖ φυξανορίᾳ, καὶ ὅτι ἡ παραδεδομένη γρ. εἶνε αὐτογένητον φυλαξάνοραν (τῆς συλλαβῆς λα γεγραμμένης ἐν χώρῳ ἀπεξεσμένῳ), ἀνάγκη παρίσταται νὰ καταφύγωμεν εἰς ἄλλην διόρθωσιν. Ταύτην δέ, πιθανωτάτην, προέτεινεν ὁ Headlam: αὐτογενῆ τῶν φλυξαγορᾶν γάμον κέ., ἤτοι: περιφρονοῦσαι (= ὀνοταζόμεναι) τὸν αὐτογενῆ (συγγενικὸν) καὶ ἀσεβῆ γάμον τῶν ἀλαζονικῶν (κομπορρημόνων) παίδων τοῦ Αἰγύπτου. Διὰ τῆς διορθώσεως ταύτης ἐπανορθοῦται ἄριστα ἡ σύνταξις, τὸ δὲ φλυξαγόρας ἐσχηματίσθη κατὰ τὸ λαβραγόρας, ὑψαγόρας κττ.

φύξιμος 2 συντάσσ. μὲ αἰτ. ἐν Σοφ. Ἀντ. 787 καί σ' οὔτ' ἀθανάτων φύξιμος οὐδείς=οὐδείς σε φυγεῖν δύναται.

φυράω: γῆν θανόντες τήνδε φυράσειν φόνῳ Αἰσχ. Ἑπτ.

48 θὰ ζυμώσωσι μὲ τὸ αἷμα. ὅστις ἐστὶ κὰκ ποίου πηλοῦ πεφύρηντ' εἰδότα Ἡρώνδ. 2, 28 γνωρίζοντα ποῖος εἶνε καὶ ἐκ ποίου πηλοῦ εἶνε ζυμωμένος, τ. ἔ. πόσον ταπεινῆς καταγωγῆς εἶνε

φύρω μειγνύω, «ἀνακατώνω, εἶτα δὲ βρέχω· ἔφυρσα σ 21 καὶ μτγν. ποι. (ἔφυρα Λουκ. Προμ. 13. Εὐσταθ. πονημάτια 279, 80). Μέσ. φύρω ἐμαυτῷ, φυρσάμενος Νικ. Θηρ. 507 (Πλάτ. Φαίδων. 101 D ὀρθῶς ὁ Madvig ἔτρεψε τὸ φύροιο εἰς φύροις). Παθ. ἐφύρθην Αἰσχ. Ἀγ. 733 (συναναφυρέντες Λουκ. Ἐπ. Κρον. 28. συμφηρήσομαι Σχολ. Πινδ. Ν. 1, 68). πέφυρμαι, πεφύρσομαι Πινδ. Ν. 1, 68. φυρτός Ἡσύχ. σύμ- Εὐρ. Ἱππ. 1234. Παρασχηματ. φυράω ἀνακατώνω, ζυμώνω, ὁμαλόν. -άσω Αἰσχ. Ἑπτ. 48. ἐφύρασα (-ησα νέ. Ἰων.). Μέσ. ἐφυρασάμην Ἀρφ. Νεφ. 979 (φυρήσασθαι Νικ. Θηρ. 932). Παθ. ἐφυράθην (-ήθην Ἀνθ. 7, 478). πεφύραμαι (-ημαι νέ. Ἰων.). φυρατέον Διοσκορ. 5, 103. μή.. στῆθος καὶ χείλεα φύρσω αἵματος σ 21 μὴ αἵματι μολύνω («νὰ μή σου καταματώσω») τὸ στῆθος καὶ τὰ χείλη. φαιδίμαν γαίᾳ πεφύρσεσθαι κόμαν Πινδ. Ν. 1, 68 ἡ λαμπρὰ κόμη τῆς γῆς (εἰς τὴν γῆν) θὰ μολυνθῇ. τὸν μακρὸν βίον ἔφυρον εἰκῇ πάντα Αἰσχ. Προμ. 465 «τὸ ἔφυρον ἐκ μτφ. τῆς γυναικός, ὅταν μέλλῃ ζυμῶσαι, μειγνυούσης ἄλευρον, ὕδωρ, ἅλας, καὶ ποιούσης τὸν ἄρτον. Μὴ γινώσκοντες γὰρ ἐκεῖνοι τὸ ποῦ συντελεῖ τὸ καθ' ἕν, ἔμισγον ὁμοῦ τὰ πάντα· διὰ τοῦτο λέγει τὸ ἔφυρον, ἔμισγον, ἐκύκων. ἤγουν οὐ χειμῶνα, οὐκ ἔαρ, οὐ θέρος, οὐ φθινόπωρον ἴσασιν, ὡς ἑκάστῳ τὰ πρόσφορα τεχνάζεσθαι» Νέ.Σχ. νεοφόνοις ἐν αἵμασι πεφυρμένοι Εὐρ. Ἠλ. 1172, ἴδ. τρόπαιον.

φυσάω: οὐδεὶς ἂν τλαίη βλέπειν φυσῶντ' ἄνω πρὸς ῥῖνας ἔκ τε φοινίας πληγῆς μελανθὲν αἷμ' ἀπ' οἰκείας σφαγῆς Σοφ. Αἴ. 918 ἡ σύνταξις: οὐδεὶς ἂν τλαίη (ἤθελεν ὑποφέρῃ) βλέπειν (αὐτὸν) φυσῶντα αἷμα μελανθὲν (τὸ ὁποῖον ἐμαύρισεν) ἄνω πρὸς ῥῖνας (πρὸς τοὺς ῥώθωνας, διότι ἔσωθεν ἐφυσᾶτο πρὸς τοὺς ῥώθωνας, καὶ ἐκ τούτων πρὸς τὰ ἔξω) ἔκ τε φοινίας πληγῆς (προελθούσης) ἀπ' οἰκείας σφαγῆς (ἐξ ἰδιοχείρου σφαγῆς). τὸ δυσέριστον αἷμα φυσῶν Ἄρης Ἠλ. 1385, ἴδε δυσέριστος.

φυσιάω: φυσιῶν ὀξεῖαν ἐκβάλλει πνοὴν λευκῇ παρειᾷ φοινίου σταλάγματος Σοφ. Ἀντ. 1238 βαθέως ἀναπνέων ἐκβάλλει ῥοὴν αἵματος ἐπὶ τὴν λευκὴν παρειάν.

φύσις -εως ἡ, εἶνε τὸ σύνολον τῶν ἐν τοῖς πράγμασιν ἐνεργουσῶν δυνάμεων· καὶ γὰρ ἂν πέτρου φύσιν σύ γ' ὀργάνειας Σοφ. Ο. Τ. 335 διότι σὺ τοὐλάχιστον καὶ αὐτὴν τὴν πέτραν ἤθελες κινήσῃ εἰς ὀργήν. ἔξοιδα καὶ (παῖ Erfurdt) φύσει σε μὴ πεφυκότα τοιαῦτα φωνεῖν Φιλ. 79 ἠξεύρω καλῶς, ὅτι καὶ ἐκ φύσεως δὲν εἶσαι καμωμένος, διὰ νὰ λέγῃς τοιαῦτα. Τὸ φύσει προστίθεται, κατά τινα πλεονασμόν, εἰς τὸ πεφυκότα, οὐ μόνον διότι πολλαχοῦ κατήντησε τὸ πέφυκε = ἐστί, ἀλλὰ καὶ εἰς ἐντονωτέραν ἔκφρασιν τῆς ἐννοίας τῆς φύσεως· πρβ. Εὐρ. Βάκχ. 896 καὶ συχν. γυνὴ δὲ θῆλυς οὖσα (τινὲς γρ. φῦσα) κοὐκ ἀνδρὸς φύσιν (ἐνν οὖσα) Σοφ. Τρ. 1062 καὶ οὐχὶ φύσιν ἀνδρὸς ἔχουσα. πρὸς φύσιν Τρ. 308 κατὰ τὸ ἐξωτερικόν. δρόμου δ' ἰσώσας τῇ φύσει τὰ τέρματα Ἠλ. 686, ἴδε ἰσόω. τῆς ὑπαρχούσης φύσεως μὴ χείροσι γενέσθαι ὑμῖν μεγάλη ἡ δόξα Θουκ. 2, 45, ἴδ. κλέος. Φύσις σημ. καὶ ὅ τι σήμερον λέγεται διὰ μακροσυνθέτου μέν, ἀλλὰ σαφοῦς ἐκφράσεως: φυσικὴ ἰδιοσυγκρασία· πιθανώτατοι ἀπὸ τῆς αὐτῆς φύσεως οἱ ἐν τοῖς πάθεσίν εἰσιν Ἀριστοτ. ποι. 17 (1455 a 30) μεταξὺ τῶν ἐχόντων τὴν αὐτὴν φυσικὴν ἰδιοσυγκρασίαν (κυρ. μεταξὺ τῶν ὁρμωμένων ἐκ τῆς αὐτῆς φυσικῆς ἰδιοσυγκρασίας) πειστικώτατοι εἶνε (κάμνουν τὴν μεγαλειτέραν ἐντύπωσιν) οἱ ἐν τοῖς πάθεσιν εὑρισκόμενοι (ἴδ. χειμαίνω). Τὸ φύσει ἀντιδιαστέλλεται πρὸς τὸ νόμῳ, ὡς φύσει μὲν γὰρ πᾶν αἴσχιόν ἐστιν ὅπερ καὶ κάκιον, τὸ ἀδικεῖσθαι, νόμῳ δὲ τὸ ἀδικεῖν Πλ. Γοργ. 483 A ἃ σαφῆ. ἐφάνη κάλλιστος.., ἅτε καὶ τῆς φύσεως ὑπαρχούσης Ξεν. Κ. Π. 6, 4, 4, ἴδε ὑπάρχω. τὴν ἐμὴν ἰδὼν φύσιν Ἀρφ. Σφ. 1071 ἀφ' οὗ παρατηρήσῃ τὴν φυσικήν μου μορφήν. πόντου εἰναλίαν φύσιν Σοφ. Ἀντ. 345 τὸ θαλάσσιον τοῦ πόντου γένος: τοὺς ἰχθῦς. Καὶ πεζ. ἵνα ἐπάγωνται τὴν φύσιν γενναίαν Ξεν. Κυνηγ. 7, 1 ἵνα φέρωσι κατόπιν των τὰ σκυλάκια. κῶς φύσιν ἔχει πολλὰς μυριάδας φονεῦσαι (τὸν Ἡρακλέα); Ἡρ. 2, 45 πῶς εἶνε φυσικὸν νὰ ἐφόνευσεν (ὅτι ἐφόνευσε) πολλὰς μυριάδας. φύσις οὐδενός ἐστιν ἁπάντων θνητῶν, οὐδέ τις οὐλομένου θανάτου τελευτή, ἀλλὰ μόνον μεῖξίς τε διάλλαξίς τε μιγέντων ἐστί, φύσις δ' ἐπὶ τοῖς ὀνομάζεται ἀνθρώποισιν Ἀπ. Ἐμπεδ 8 γέννησις οὐδενὸς ἐκ τῶν θνητῶν πραγμάτων ὑπάρχει οὐδέ τι τέλος τοῦ ὀλεθρίου (ἐπαράτου) θανάτου, ἀλλὰ μόνον μεῖξις καὶ διάλλαξις τῶν μειχθέντων ὑπάρχει, τοῦτο δὲ ὀνομάζεται ὑπὸ τῶν ἀνθρώπων γέννησις (κυρ. γέννησις δὲ εἰς ταῦτα ὀνομάζεται παρὰ τοῖς ἀνθρώποις). Τί σημ. φύσις παρὰ Πλάτ. ἴδε φύω. ‖ πᾶν ὅ τι φύεται: πλὴν τοῦ τρέφοντος Ἡλίου χθονὸς φύσιν Αἰσχ. Ἀγ. 638 πλὴν τοῦ Ἡλίου τοῦ τρέφοντος τὰ ἐν τῇ γῇ φυόμενα.

φυτάλμιος 2 καὶ 3 φύων, γεννῶν, παράγων, οἷον γεννητής· ἐή, ἀλαῶν ὀμμάτων· ἆρα καὶ ἦσθα φυτάλμιος; Σοφ. Ο. Κ. 149 «ἀπὸ φύτλης, ἀπὸ γενέσεως καὶ ἐξ ἀρχῆς τυφλὸς πέφυκας;» Σχ. Ὀρθὴ φαίνεται ἡ ἐξήγησις τοῦ Σχ. Ὅπως λέγεται ὀδόντας, φρένας, σῶμα φύειν (ἢ γεννᾶν), οὕτως ἠδύνατο νὰ λεχθῇ καὶ ὄμματα φύειν, καὶ ἑπομένως καί: ἀλαῶν ὀμμάτων φυτάλμιος οἷον τυφλῶν ὀμμάτων γεννητής. Ὅθεν ἡ φράσις: ἆρά γε καὶ ἐκ γενετῆς ἦσο τυφλὸς τὰ ὄμ-

ματα; Ἡ μετὰ τὸ ὀμμάτων στίξις, ἣν οἱ πλεῖστοι ἐκδόται ἔχουσι, δὲν εἶνε ὀρθή, διότι τὸ φυτάλμιος τότε μόνον του θὰ ἐσήμαινε γόνιμος (πρβ. φυτάλμιος Ποσειδῶν, φυταλμία χθών) κττ., δὲν εἶνε δὲ πολὺ ὀρθὸν νὰ ὑπονοήσωμεν τὸ αὐτῶν (τ. ἔ. ὀμμάτων), ἀφ' οὗ ἤδη αὐτὸ τοῦτο τὸ ὀμμάτων εἶνε ἐγγύτατα.

φυτεύω, ὁμαλόν, πεφύτευκα μτγν. Παλ. Δ. ἀλλὰ πεφύτευμαι Ξεν. Ἑλλ. 3, 2, 10. φυτευθήσομαι μτγν. Γεωπ. 5, 19, 1 Παρασχημ. φιτύω (ἐκ τῶν ὑπαρχόντων χωρίων δὲν φαίνεται καθαρὰ ἡ ποσότης τοῦ υ ἐν τῷ ἐνεστ.) ποιητ. καὶ Πλάτ.ὁμαλ., -ύσω καὶ ἐφίτῡσα Τραγ., ὁ ἀόρ. καὶ ἐν Πλ. Κριτ. 116 C. Νόμ. 879 D. φιτύσομαι Μόσχ. 2, 160. φιτύσατο Ἡσ. Θε. 986 φιτύσαιο Ἀπολλ. Ῥ. 4, 807. παῖδας φυτεύειν οὔποτ' ἀνθρώπους ἐχρῆν, πόνους ὁρῶντας εἰς ὅσους φυτεύομεν Ἀπ. Ἀδ. 111 ἡμᾶς τοὺς ἀνθρ. οὐδέποτε ἐχρῆν φυτεύειν παῖδας, ἀποβλέποντας εἰς τοὺς πόνους εἰς ὅσους (ἤ: εἰς ὅσους πόνους) φυτεύομεν αὐτούς. οὐκ ἐπὶ πᾶσίν σ' ἐφύτευσ' ἀγαθοῖς Ἀτρεύς Εὐρ. Ἰ. Α. 29 =ὥστε πάντα σοι ἀγαθὰ εἶναι. Καὶ μετὰ γεν. ὡς ποιητ. αἰτίου: τοῦ κακοῦ πότμου φυτευθείς Σοφ. Ο. Κ. 1324 ὑπὸ τῆς κακῆς τύχης φυτευθείς (κυρ. κακῆς τύχης φύτευμα, τέκνον). Ἡ γεν.κυρ. τῆς καταγωγῆς· ἴδε τρέφω (Σοφ. Φιλ. 3).

φυτόν τό: γυναῖκές ἐσμεν ἀθλιώτατον φυτόν Εὐρ. Μήδ. 231 πρβ. «φροῦττο» ἢ καὶ «φυντάνι» ὡς «βγῆκε ἕνα φυντάνι» μτφ.,πρβ.Ἱππόλ.630. Χαρίτων ἱμεροφώνων ἱερὸν φυτόν Θεόκρ.28,7 τὸν ταῖς Χάρισι ἀγαπητὸν μαθητήν. Ὁ Πλάτ.ἐν Τιμ.90Α ὠνόμασε τὸν ἄνθρωπον οὐράνιον φυτόν, ὅπερ ὁ Πλούτ. ἐν 600 Ε ἑρμηνεύει ὧδε: «ὁ γὰρ ἄνθρωπος, ἥ φησιν ὁ Πλάτων, φυτὸν οὐκ ἔγγειον οὐδ' ἀκίνητον, ἀλλ' οὐράνιόν ἐστιν, ὥσπερ ἐκ ῥίζης τὸ σῶμα τῆς κεφαλῆς ὀρθὸν ἱστώσης, πρὸς τὸν οὐρανὸν ἀνεστραμμένον (=ὥσπερ ἐκ ῥίζης ἄνω τῆς κεφαλῆς ὀρθούμενον σ. 400Β)». Εἰς τοῦτο ἀναφέρεται ὁ Παλλαδᾶς ἐν Ἀνθ. 10, 45: «ὁ Πλάτων σοὶ τῦφον ὀνειρώσσων ἐνέφυσεν (=ὁ Πλ. ὀνειρώσσων ἐνέφυσέ σοι τῦφον), ἀθάνατόν σε λέγων καὶ φυτὸν οὐράνιον».

φυτουργός 2: πατὴρ φυτουργὸς αὐτόχειρ ἄναξ Αἰσχ. Ἱκ. 600, ἴδ. παλαιόφρων.

φύω, Λεσβ. φυίω (πρβ. fui), γεννῶ, παράγω, κάμνω νὰ φυτρώσῃ τι (σπαν. ἀμτβ. γεννῶμαι. Ζ 149, ὅπου γρ. φύεθ'=φύεται κατὰ τὸν v Leeuwen). Σοφ. Ἀπ. 824, ἀλλὰ συχν. παρὰ μτγν. ποι. καὶ πεζ., ῠ παρ' Ὁμ. πρὸ φωνήεντος, ῡ Ἀττ. φύει Ἀπ. Σοφ 824. φύεται Ἀπ. Σοφ. 85, 4. φύομεν Ἀρφ. Ὄρν. 106. φύσω Α 235. Σοφ. Ο. Τ. 437, ἔφῡσα. ἀόρ. β' ἔφῡν ἀμτβ. (κυρ. ἐφύτρωσα. φῦ ἀντὶ ἔφῡ Ζ 253. 406. Ξ 232. γ' πλ. ἔφῡσαν ὁμοφωνοῦν πρὸς τὸ γ' πλ. τοῦ α' ἀορ., ἔφυν Πίνδ. Π. 1, 42, μετὰ φαινομένης ἐκτάσεως ἐν τῇ ἄρσει ε 481) καὶ μτγν. ἐφύην (ὡς ἐρρύην) Ἰωσ. ἀρχ. 18, 1, 1, ἀν- Θεοφρ. Ἰ. Φ. 4, 16, 2, ἐφύησαν Παλαιφάτ. κ. 6. Ὑπ. φύῃ (Cobet: φυῇ, ὃ πλημμελές) Ἀπ. Εὐρ. 337. Πλ. Πολ. 415C. 473D. 494B. 496B, ἐμφύῃ Ξεν. Ἱέρ. 7, 3, συμ- Ἱπποκρ. 6, 182, φύωσι Πλ. Φαῖδρ. 251C. Πολ. 597C. εὐκτ. φυίη (φύη) Θεόκρ. 15, 94 Ἴσως δὲ καὶ ἐν τῷ ἐκφύοι Δημ. 24, 154 λανθάνει ἀόρ. β' εὐκτ. (ἐκφυίη;). Ἴδε ἐκφύω ἐν Παραρτ. φῦναι (φύμεναι) Θεόκρ. 25,39, φῦν ἀντὶ φῦναι Ἀπ. Παρμενίδ. 8, 10. μτγν. φυῆναι Διοσκορ. 2, 8. ἀνα- Διόδ. Σ. 1. 7, συμ-Ἱπποκρ. 6, 182. φύς, -ύντος, οὐδ. φύν Πλ. Νόμ. 771Β, καὶ φυείς Ἱπποκρ. 7, 514. Ἀπ. Μεν.(;) 1031. (φοῦσα Βοιωτ. Κόριννα 21 ἀντὶ τοῦ φῦσα). πέφυκα ἀμτβ. εἶμαι φυτρωμένος, εἶμαι ἐκ φύσεως τοιοῦτος ἢ τοιοῦτος. ἐπ. πεφύᾱσι Δ 484. η 128. ι 141. Ἡσ. Θε. 728. πεφύκᾱσι η 114 (Βέκκ. μετὰ τοῦ Ἡρῳδ.), πέφυκαν ἀντὶ -ασι (ἴδ. φρίσσω). Ὑποτ. ἐμπεφύῃ Θέογν. 396, πεφῠῶτας ε 477, ἐμπεφῠυῖα Α 513 κἄλλ ἐπεφύκειν. (ἐπέφῡκον γ' πλ. ἀντὶ -ύκεσαν Ἡσ. Θε. 152. Ἔργ. 149. Ἀσπ. 76). Παθ. γεννῶμαι, φύσομαι (φυήσομαι μτγν.), οὗ ἀόρ. ἔφυν καὶ πρκ. πέφυκα (συμφυθείς Γαλην. 7,725 ἐφθαρμένον ἐκ τοῦ -φυείς). φυτός Πίνδ. Π.5,42 καὶ Παλ.Δ., ἀλλὰ τὸ φυτὸν εἶνε πάγκοινον. στείχει δ' Ἴουλος ἄρτι διὰ παρηΐδων, ὥρας φυούσης, ταρφὺς ἀντέλλουσα θρίξ Αἰσχ. Ἑπτ.521 μόλις δ' ἤρχισαν ν'ἀναφαίνωνται διὰ τῶν παρειῶν του αἱ πρῶται ἀλλὰ πυκναὶ τρίχες, τὰς ὁποίας ἐκφύει ἡ νεανική του ἡλικία. γλῶσσαν δὲ μοῦνον θηρίων οὐκ ἔφυσε Ἡρ. 2, 68 δὲν ἐγέννησε, δὲν ἔβγαλε» (δὲν ἔχει ἐκ φύσεως). Ἐφαντάζοντο δηλ. οἱ ἀρχαῖοι, ὅτι ὁ ὀργανισμὸς παράγει αὐτὸς ἐξ ἑαυτοῦ, οἷον φυτόν τι (πρβ. Πλ. Νόμ. 765Ε), τὰ διάφορα μέρη του. Ἀλλ' ἡ γλῶσσα ὅμως τοῦ κροκοδείλου εἶνε προσκεκολλημένη ἐν τῇ κάτω σιαγόνι. ἑπτέτης ὢν οὐκ ἔφυσεν φράτερας Ἀρφ.Βατρ. 418 «ἀντὶ τοῦ εἰπεῖν οὐκ ἔφυσεν ὀδόντας ⟨φραστῆρας⟩ εἶπε φράτορας, ἵνα ὡς ξένον διαβάλῃ· ἡ δὲ παροιμία: ἑπτέτης ὢν ὀδόντας οὐκ ἔφυσεν» Σχ. πρβ.Σόλων. Ἀπ. 27 ἐν λ. ἕρκος. Κατὰ τὴν τρίτην ἡμέραν τῶν Ἀπατουρίων ὁ παῖς ὁ νεωστὶ γεννηθεὶς ὤφειλε νὰ ἐγγράφηται εἰς τοὺς φράτερας· πρβ. Λυσ. 30, 2, ὁ δὲ Ἀρχίδημος ἑπτέτης ὢν δὲν «ἔβγαλε» ἀκόμη ὄχι ὀδόντας (ὡς προσεδόκα τις), ἀλλὰ φράτερας, ἤτοι δὲν ἔδειξεν ἀκόμη τοὺς φράτεράς του, τὴν φράτραν, εἰς ἣν ἀνήκει. Ἐν ἄλλαις λέξεσιν ὁ ποιητὴς ὑποδηλοῖ, ὅτι ὁ Ἀρχίδημος ἀργὰ ἀπέκτησε τὰ πολιτικὰ δικαιώματά του, δολίῳ τῷ τρόπῳ, δὲν εἶνε λοιπὸν ἀληθὴς πολίτης. θεοὶ φύουσιν (κυρ.=ἐμφύουσι· πρβ. Ξεν. Ἀπ. 1, 4, 16·ὅθεν βάζουν, δίδουν) ἀνθρώποις φρένας Σοφ. Ἀντ. 683. ὡς στόμια δέχηται ταμὰ μηδὲ πρὸς βίαν. φύσῃ φρένας Ἠλ. 1463 «καὶ νὰ μὴ σωφρονισθῇ («βάλῃ μυαλά») διὰ τῆς βίας. ὅστις δ' ἀνωφέλητα φιτύει (Brunck: φυτεύει) τέκνα, τί τόνδ' ἂν εἴποις ἄλλο

πλὴν αὐτῷ πόνους φῦσαι πολὺν δὲ τοῖσιν ἐχθροῖσιν γέλων; Λύτ. 646 ὅστις ὅμως γεννᾷ ἀνωφελῆ τέκνα, τί ἄλλο ἤθελες εἴπῃ ὅτι οὗτος ἐγέννησε παρὰ μόνον (=πλὴν) πόνους, πολὺν δὲ γέλωτα εἰς τοὺς ἐχθρούς; Ἄλλοι εἰς τὸ τί ἄλλο ἐνν. δρᾶσαι. ἐλάφω δὲ βρόμος ἐν στήθεσι φύει φόβερος Ἀπ. Ἀλκαί. 97 διεγείρεται δὲ ἐν τοῖς στήθεσι τῆς ἐλάφου περίφοβος μυκηθμός. ἄλλως τε καὶ ἐὰν τὸ σῶμα φυῇ προσφερὴς τῇ ψυχῇ Πλ. Πολ. 494B ὁ Herw προτείνει φύσῃ (πρβ. κἂν σῶμα γεννήσῃ μέγα Σοφ. Αἴ. 1077), ἴδ. καὶ ἄλλα πρδγ. κατωτ. Καὶ μετὰ τοῦ φύσει: κούφα γὰρ δαπάνα νομίζειν ἰσχὺν τόδ' (Heath: τ') ἔχειν, ὅ τι ποτ' ἄρα τὸ δαιμόνιον, τό τ' ἐν χρόνῳ μακρῷ νόμιμον ἀεὶ φύσει τε πεφυκός Εὐρ. Βάκ. 896 (ὀρθῶς)· διότι τίποτε δὲν «κωστίζει» νὰ πιστεύωμεν εἰς τὴν ἰσχὺν τοῦ θείου, ἂς εἶνε ὅ τι καὶ ἂν εἶνε τὸ θεῖον τοῦτο, καὶ εἰς τὰ ἐκ μακροῦ χρόνου διὰ τῶν νόμων πάντοτε καθιερωμένα καὶ ἐκ φύσεως ὑφεστῶτα. Ἡ μετάφρ. τοῦ Ew. Bruhn: «καὶ (νὰ πιστεύωμεν) ὅτι ἐκεῖνο, ὅπερ (τῇ ἀληθείᾳ μόνον) διὰ μακροῦ χρόνου ἔχει διατηρηθῆ, αἰωνίως καὶ φύσει ὑπάρχει» εἶνε παρερμηνεία, διότι προϋποθέτει πεφυκέναι ἀντὶ τοῦ πεφυκός. ταῦτα δὴ εἰδὼς ὁ θεός, βουλόμενος εἶναι ὄντως κλίνης ποιητὴς ὄντως οὔσης, ἀλλὰ μὴ κλίνης τινὸς μηδὲ κλινοποιός τις, μίαν φύσει αὐτὴν ἔφυσεν Πλ. Πολ. 597D μίαν ἰδέαν κλίνης ἐποίησεν. Τὸ φύσει δηλ. ἐνταῦθα αναφ. εἰς τὴν οὐσιώδη φύσιν, ἤτοι τὴν ἰδέαν. Ὁμοίως ἐν τῇ φύσει (Παρμεν. 132 D. Φαίδων 183B καὶ συχν.) ἐνν κυρ. ἐν τῇ φύσει τῶν πραγμάτων, ἤτοι ἐν τῷ κόσμῳ τῶν ἰδεῶν. εὖ ἴσθι, ὡς ἐμοί τε ἔδοξε καὶ τοῖς ἄλλοις ἅπασι τοῖς ἰδοῦσι μήπω φῦναι μηδὲ γενέσθαι γυνὴ ὑπὸ θνητῶν τοιαύτη ἐν τῇ Ἀσίᾳ Ξεν. Κ. Π. 5, 1,7 ὅτι δὲν παρήχθη (κυρ. δὲν ἐπλάσθη, δὲν ἐφυτεύθη) ἀκόμη οὐδ' ἐγεννήθη γυνὴ ὑπὸ θνητῶν τοιαύτη· ὅπου τὸ φύεσθαι εἶνέ τι προηγούμενον τοῦ γενέσθαι, ὅπερ ἐκφράζει τὴν εἰς τὴν προσωπικὴν (ὡς λέγουσιν) αὐθυπαρξίαν μετάβασιν. Διάφορόν πως καὶ ὑλικώτερον εἶνε τὸ ἐνεργ. ἡ γῆ φύει ἄνδρας (Ἡρ. 9, 122), οἷον παράγει ἄνδρας, ὡς αὐτ. λέγεται ὅτι ἡ γῆ φύει καρπούς παράγει. οὐκ ἐγγυτέρω τῆς ἀγχιστείας εἰσὶν οἱ μετ' ἐκείνου φύντες (ἀδελφοί) ἢ οἱ ἐξ ἐκείνου γεγονότες (παῖδες) Ἰσαῖ. 8, 30. τίς ἔφυς βροτῶν; Σοφ. Ο. Κ. 204 τίς εἶσαι ἐκ τῶν θνητῶν ὡς ἐκ τῆς γεννήσεως; τὰ φύντα γὰρ κρείσσω νομίζειν τῶν δοκημάτων χρεῶν Ἀπ. Εὐρ. 359 τὰ γνήσια (κυρ. τὰ ἐκ τῶν γονέων αὐτῶν γεννηθέντα φύσει) τέκνα πρέπει νὰ νομίζῃ τις ὑπέρτερα τῶν νομιζομένων ὡς τοιούτων (=τῶν δοκημάτων=τῶν δοκούντων). μὴ φῦναι τὸν ἅπαντα νικᾷ λόγον· τὸ δ', ἐπεὶ φανῇ, βῆναι κεῖθεν ὅθεν περ ἥκει, πολὺ δεύτερον, ὡς τάχιστα Σοφ. Ο. Κ. 1224 τὸ νὰ μὴ γεννηθῇ τις εἶνε ὑπέρτερον πάσης συζητήσεως (τ. ἔ. εἶνε ἀναμφισβήτως τὸ ἄριστον)· ἀφ' οὗ δὲ γεννηθῇ τις, νὰ πάῃ ἀπὸ 'κεῖ ποῦ (κεῖθεν ὅθεν) ἦλθε μία ὥρα πρωτίτερα, τοῦτο εἶνε κατὰ πολὺ δεύτερον. Καὶ ἐνταῦθα οἱ διορθωταὶ ἐπεδίωξαν τὸ ὁμοιόμορφον, καὶ ἀντὶ τοῦ φανῇ, ἔχοντος κάλλιστα (ἴδ. φαίνω), διώρθωσαν φύῃ. Ἀλλ' ἴδ. ὅσα ἔγραψα ἐν τῷ κρύπτω, ὅπου καὶ ἄλλα ὁμοίως παραδιωρθωμένα χωρία. τὸ μὴ γενέσθαι δ' ἐστὶν ἢ πεφυκέναι κρεῖσσον κακῶς πάσχοντα Ἀπ. Αἰσχ. 401 εἶνε προτιμότερον νὰ μὴ γεννηθῇ τις παρὰ νὰ γεννηθῇ (νὰ ὑπάρχῃ) καὶ νὰ βασανίζεται (νὰ κακοπαθῇ). δεινόν γέ σ' οὖσαν πατρός, οὗ σὺ παῖς ἔφυς, κείνου λελῆσθαι Σοφ Ἠλ. 341, ἴδ. εἰμί, ἴδε καὶ κατ. οὐδεὶς ἐχθρὸς οὔτε φύεται πρὸς χρήμαθ' οἵ τε φύντες ἀρνοῦνται στυγεῖν Ἀπ. Σοφ. 85 οὐδεὶς οὔτε φύεται (εὑρίσκεται ὢν) ἐχθρὸς πρὸς τὰ χρήματα οἵ τε φύντες (γενόμενοι) ἀρνοῦνται στυγεῖν (οὔ φασι μισεῖν). θήξαις δέ κε φύντ' ἀρετᾷ ποτὶ πελώριον ὁρμάσαι κλέος ἀνὴρ θεοῦ σὺν παλάμᾳ Πίνδ. Ὀ. 10, 20 ἀνὴρ παροξύνας τὸν πρὸς ἀρετήν (ἵνα τῶν ἄλλων διαφέρῃ) γενόμενον (φύντα) σὺν τῇ βοηθείᾳ τοῦ θεοῦ παρορμήσειεν ἂν εἰς κατόρθωσιν πελωρίου κλέους. ὡς θαυμασίως πέφυκε (τὸ ἡδὺ) πρὸς τὸ δοκοῦν ἐναντίον εἶναι, τὸ λυπηρόν Πλ. Φαίδ 60 B πόσον παράδοξον σχέσιν ἐκ φύσεως ἔχει τὸ ἡδὺ πρὸς τὸ φαινόμενον ὅτι εἶνε ἐναντίον τὸ λυπηρόν. τὸ δοῦλον ὡς κακὸν πεφυκέναι τολμᾶν θ' ἃ μὴ χρή Εὐρ. Ἑλ. 332 πόσον κακὸν πρᾶγμα εἶνε νὰ εἶνέ τις δοῦλος καὶ νὰ ὑπομένῃ ὅσα δὲν πρέπει. ἐγὼ γὰρ ἐμαυτῷ ταῦτα πάσχειν ἐδόκουν καταφρονούμενος τῷ ἁπλῶς καὶ ὡς πέφυκα ζῆν Δημ. 37, 43 διότι ἐγὼ εἶχον τὴν ἰδέαν (κατενόουν) ἔπασχον ταῦτα καταφρονούμενος διὰ τὸ ὅτι ἔζων ἁπλῶς καὶ συμφώνως μὲ τὸν χαρακτῆρά μου. κρείσσων γὰρ οὗτις χρημάτων πέφυκ' ἀνήρ, πλὴν εἴ τις (εἷς τις Porson ὀρθῶς)· ὅστις δ' οὗτός ἐστιν οὐχ ὁρῶ Ἀπ. Εὐρ. 325 πλὴν εἷς ἄγνωστος (ὃν δὲν ἠξεύρω)· ὅθεν ἐπιφέρονται τὰ ἑξῆς, ὅστις δ' οὗτός ἐστιν οὐχ ὁρῶ. τὸ γὰρ καλῶς πεφυκὸς οὐδεὶς ἂν μιάνειεν λόγος Ἀπ Σοφ. 100 τὸ γὰρ καλῶς γεγονὸς (τὸ εὐγενές: τὸν εὐγενῆ, τὸν γενναῖον) οὐδεὶς ἂν λόγος (διορθοῦσι ψόγος) μιάνειεν. ὅτι δίχα πέφυκε Θουκ. 4,61, ἴδ. δίχα. ὑπὸ φηγῷ πεφυκυίῃ Ἡρ. 2, 56 ἡμεῖς λέγομεν συνήθως: ριζωμένος, ποῦ ἔχει ρίζες. Ὁμοίως δένδρα πεφυκότα Ξεν. Κ. Π. 4, 3, 5 τὰ ἐν τῇ γῇ φυτρωμένα δένδρα, καὶ ἑπομένως: ἐρριζωμένα καὶ ἀμετακίνητα ἐκ τῆς θέσεώς των. Τὸ πεφυκέναι σπανίως λαμβάνεται ἀπρος. Πρβ. οὐ κάτοιδε τἀνθρώπων, ὅτι χαίρειν πέφυκεν οὐχὶ τοῖς αὐτοῖς ἀεὶ Σοφ. Τρ. 440 δὲν ἠξεύρει τοὺς ἀνθρώπους (κυρ. τὰ πράγματα τῶν ἀνθρ.), ὅτι ἐκ φύσεως εἶνε πλασμένοι νὰ εὐχαριστῶνται ὄχι εἰς τὰ ἴδια πάντοτε. Ἀλλὰ καὶ ἐνταῦθα ἡ σύντα-

